Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
+0002024 84
Ἀριθ. εἰσ. 227/1959
ΔΩΡΕΑ Ἀντ. Τσούτελη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟ... ΒΕΡΡΟΙΑΣ
ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ
## ΦΙΛΟΛΟΓΙΚΗ

ΕΙΣ ΤΕΣΣΑΡΑΣ ΤΟΜΟΥΣ ΔΙΗΡΗΜΕΝΗ,

Συναρμοσθεῖσα μὲν ποτὲ παρὰ τοῦ Ἐλλογιμωτάτου

ΙΩΑΝΝΟΥ ΠΑΤΟΥΣΑ
ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ.

Νῦν δὲ ἐπιμελέστερον μετατυπωθεῖσα, ηὐξήνθη ἔντισιν ὑπὲρ τὸ πρῶτον, ἅτε δὴ προσετέθη τὸ ἄχρι νῦν ἀνέκδοτον φιλοπόνημα

ΤΟΥ ΚΥΡΙΟΥ
ΑΝΤΩΝΙΟΥ ΒΥΖΑΝΤΙΟΥ

ΚΑΛΟΥΜΕΝΟΝ ΧΡΗΣΤΟΗΘΕΙΑ,

Πρὸς παραίνεσιν ἠθῶν τῶν Νέων· ἤτε κατὰ μεθυόντων Ὁμιλία

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

Πλείονος ἕνεκα τῶν τῆς Ἑλληνικῆς Γλώττης φιλομαθῶν ὁπωσδήποτε ὠφελείας.

Μεθ᾽ ὅσης οἷόν τε ἦν τῆς ἀκριβείας διορθωθεῖσα παρὰ Σ. Β.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

αψϞέ. ΕΝΕΤΙΗΣΙΝ, 1795.

---

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων·
CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ
1826
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας
Αρ. εισ. 2024

[illegible]ος ὅλου δύω μανικέων Ἰάκωβος ὁ ἀ[illegible]
μετὰ τῆς βραχιόλας Στέφανος ὁ [illegible] βραχί-
ον ~~[illegible]~~ [illegible] ὁ [illegible] μανικᾶς, καὶ δύο βραχ-
ιῶν Χρυσὸς ὁ [illegible] βραχιόνων Λουκᾶς ὁ
[illegible] βραχίονας καὶ μανικᾶς· ~~[illegible]~~ ἀνα-
[illegible] ὅλου δύο βραχιόνων καὶ μιᾶς μανι-
κᾶς

# ΕΠΙΓΡΑΜΜΑ

## Εἰς τὸν Τόμον τῦ Ποιητῦ.

ΟΥ'κ ἐς Παρνασσὸν λοιπὸν φίλε δεῖσε ὁδεύειν
Κῦρε, Ἀοιδοπόλων ἄνθεα δρεψόμενον.
Παρνασσὸς ὧδε, Ἀοιδῶν ποικίλα τερπνάτε ἄνθη
Θάλλει συλλήβδην, εὔπορα ὡς σὺ τύχῃς.
Ὧδε σοφὴ ἦν ὥσπερ ἀρισόπονός τε μέλισσα
Νέκταρος ἡδυτάτε ἴπτασο γευσόμενος.

Ὁ ἐν Ἱερεῦσιν ἐλάχισος
Λιβέριος Κολέτης Ἀθηναῖος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΛΕΓΧΟΣ

Τῶν ἐν τῷ δ΄. Τόμῳ Περιεχομένων.

ΕΥ'ΡΙΠΙ'ΔΟΥ Ἑκάβη. 7
Τοῦ αὐτοῦ Μήδεια. 53
ΣΟΦΟΚΛΕ'ΟΥΣ Αἴας μαστιγοφόρος. 105
ΑΙ'ΣΧΥ'ΛΟΥ Προμηθεὺς δεσμώτης. 158
Α'ΡΙΣΤΟΦΑΝΟΥΣ Πλοῦτος. 198
Η'ΣΙΟ'ΔΟΥ τὸ α΄. βιβλίον. 244
ΘΕΟΓΝΙΔΟΣ γνῶμαι Ἐλεγειακαί. 257
ΦΩΚΥΛΙ'ΔΟΥ Ποίημα νουθετικόν. 272
ΠΥΘΑΓΟ'ΡΟΥ Χρυσᾶ ἔπη. 280
ΣΟ'ΛΩΝΟΣ γνῶμαι. 283
Ο'ΜΗ'ΡΟΥ Βατραχομυομαχία. 286
Ε'ΠΙΓΡΑ'ΜΜΑΤΑ ἐκλεκτὰ ἐκ τοῦ α΄. Βιβλίου. 297
Ἕτερα ἐκ τοῦ Δευτέρου. 339
Ἕτερα ἐκ τοῦ Τρίτου. 367
Ἕτερα ἐκ τοῦ Τετάρτου. 386
Ἕτερα ἐκ τοῦ ε΄. ς΄. καὶ Ἑβδόμου. 402
ΘΕΟΚΡΙΤΟΥ Θύρσις. 410
Τοῦ αὐτοῦ εἰς νεκρὸν Ἄδωνιν. 416
ΠΙΝΔΑ'ΡΟΥ εἰς Ἱέρωνα. 417

ΤΕ'ΛΟΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Η ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΟΥΤΩΣ ΕΧΕΙ.

Μετὰ τὴν Τροίας ἅλωσιν ἅπαντες οἱ Ἕλληνες, καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χερρονήσῳ τῆς Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν. οὗ δὴ καὶ κενοτάφιον ἔχωσαν Ἀχιλλεῖ ἐν Τροίᾳ ταφέντι· διατρίψαντες δὲ ἐκεῖ ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτοῦ εὖ διατεθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου, ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν καὶ πρότερον καπεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρός· δι' ἣν καὶ ὑπὸ Πάριδος καὶ Δηϊφόβου τοξευθεὶς ὄλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν ὡς εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι, καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρός, ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ Ἥρωος. ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε Παρθένον λάβῃ, καὶ τῷ ποικίλῳ τῶν λόγων (τοιοῦτος γὰρ ἦν ὁ ἀνήρ) πείσῃ Ἑκάβην, μὴ δυσχερῶς ἔχειν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. Ἐλθὼν οὖν Ὀδυσσεὺς, τήν τε κόρην συμπρομένην εὗρεν αὐτοῦ τῆς σπουδῆς, καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτῇ προσῆκον, ἢ τὸ ζῆν παρ' ἀξίαν. Σφαγείσης δὲ τῆς Παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον. Ἀλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμή-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σωρ, σφάξας αὐτὸν, ἔῤῥιψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρώην Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα Ἴλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν, καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. Ὡς οὖν τοῦτον εὗρεν ἡ δούλη κείμενον ἐπ᾽ ἀκταῖς, ἀνελομένη, καὶ τῷ πέπλῳ εἱλίξασα κομίζει πρὸς τὴν Ἑκάβην. ἡ τὸν τῆς Πολυξένης νεκρὸν, πρὶν ἐκκεκαλύφθαι τοῦτον, εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τε ἔχει, καὶ ὅπως ἀμυνεῖται Πολυμήστορα, μηχανᾶται ποιόν δέ. Κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι, πέμπει τὴν αὐτῆς δούλην ὡς Πολυμήστορα, αὐτόν τε καὶ τὰ τέκνα πρὸς ἑαυτὴν μετακαλουμένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. Οὗτος μὲν οὖν ἀγνοῶν, ὅτι Πολύδωρος εὕρηται παρὰ τὰς ἀκτὰς, καὶ ἅμα καίτισιν ἐλπίσιν ὑποκλαπεὶς, μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. ἡ δὲ Ἑκάβη πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυροὺς κεκρυμμένους ὑπ᾽ αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγει δὲ καὶ τῆς σκηνῆς ἔνδον εἰποῦσα, ὡς ἂν καὶ ἕτερ᾽ ἄττα αὐτῷ δώσῃ χρήματα, μεθ᾽ ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκρυπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος, σὺν αἷς τοῦτον εἰσελθόντα Ἑκάβη, ὀφθαλμῶν τε στερεῖ, καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασαμένου, Ἑκάβη περιεγένετο, ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ χάριν, καὶ οὐχ ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον ἔχουσα καὶ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Θρᾴκης Χεῤῥονήσῳ. ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων, Τρῳάδων, συμμαχησασῶν τῇ Ἑκάβῃ.

ΕΤ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΟΛΥΔΏΡΟΥ εἴδωλον.
ἙΚΆΒΗ.
Χορὸς ἐκ ΤΡΩΆΔΩΝ αἰχμαλωτίδων.
ΠΟΛΥΞΈΝΗ.
ὈΔΥΣΣΕΎΣ.
ΤΑΛΘΎΒΙΟΣ.
ΘΕΡΆΠΑΙΝΑ Ἑκάβης.
ἈΓΑΜΈΜΝΩΝ.
ΠΟΛΥΜΉΣΤΩΡ.

Προλογίζει δὲ ὁ Πολύδωρος.

## ἼΑΜΒΟΙ.

ἭΚΩ, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπὼν, ἵν᾽ ᾅδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός. ὅς μ᾽, ἐπεὶ Φρυγῶν πόλιν
Κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
Δείσας, ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς,
Πολυμήστορος πρὸς δῶμα Θρηκίου ξένου,
Ὃς τὴν ἀρίστην Χερρονησίαν πλάκα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
Πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν' εἴποτ' Ἰλίου τείχη πέσοι,
Τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
Νεώτατος δ' ἦν Πριαμιδῶν, ὃ καί με γῆς
Ὑπεξέπεμψε. οὔτε γὰρ φέρειν ὅπλα,
Οὔτ' ἔγχος οἷός τ' ἦν, νέῳ βραχίονι.
Ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
Πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς ηὐτύχει δορὶ,
Καλῶς παρ' ἀνδρὶ Θρηκὶ πατρῴῳ ξένῳ,
Τροφαῖσιν, ὥς τις πτόρθος ηὐξόμην τάλας.
Ἐπεὶ δὲ Τροία θ', Ἕκτορός τ' ἀπώλετο
Ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
Αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
Σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
Κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
Ξένος πατρῷος· καὶ κτανὼν, ἐς οἶδμ' ἁλὸς
Μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
Κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντου σάλῳ,
Πολλοῖς διαύλοις κυμάτων φορούμενος,
Ἄκλαυστος, ἄταφος. νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ' ἐρημώσας ἐμὸν,
Τριταῖον ἤδη φέγγος αἰωρούμενος,
Ὅσονπερ ἐν γῇ τῇδε Χερρονησίᾳ
Μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
Πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες, ἥσυχοι
Θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρηϊκίας χθονός.
Ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς,
Κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν,
Πρὸς οἶκον εὐθύνοντας εἰναλίαν πλάτην.

Αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
Τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
Καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
Ἔσται πρὸς ἀνδρῶν. ἡ πεπρωμένη δ' ἄγει
Θανεῖν ἀδελφὴν τὴν ἐμὴν τῇδ' ἡμέρᾳ.
Δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
Μήτηρ, ἐμοῦ τε, τῆς τε δυστήνου κόρης.
Φανήσομαι γὰρ ὡς τάφου τλήμων τύχω,
Δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
Τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
Τύμβου κυρῆσαι, κ' εἰς χέρας μητρὸς πεσεῖν.
Τοὐμὸν μὲν οὖν ὅσον περ ἤθελον τυχεῖν,
Ἔσται. γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
Φεῦ ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
Δούλειον ἦμαρ εἶδες. ὡς πράσσεις κακῶς,
Ὅσον περ εὖ ποτ'. ἀντισηκώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Ἑκά. Ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
Ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον νῦν
Τρῳάδες, ὑμῖν, πρόσθεν δ' ἄνασσαν.
Λάβετε, φέρετε,
Πέμπετ', ἀείρατέ μου δέμας,
Γεραιᾶς χειρὸς προσλαζόμεναι.
Κἀγὼ σκολιῷ σκίμπωνι χερὸς
Διερειδομένα, σπεύσω βραδύπουν,
Ἤλυσιν ἄρθρων προτιθεῖσα.

Ω

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
Τί ποτ' αἴρομ' ἔννυχος οὕτω
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν
Μελανοπτερύγων μᾶτερ ὀνείρων,
Ἀποπέμπομαι ἔννυχον ὄψιν,
Ἂν περὶ παιδὸς ἐμοῦ
Τοῦ σωζομένου κατὰ Θρήκην,
Ἀμφὶ Πολυξείνης τε φίλης
Θυγατρὸς, δι' ὀνείρων εἶδον.
Εἶδον γὰρ φοβερὰν ὄψιν,
Ἔμαθον, ἐδάην.
Ὦ χθόνιοι Θεοὶ, σώσατε παῖδ' ἐμὸν,
Ὃς μόνος, οἴκων ἄγκυρα τ' ἐμῶν,
Τὴν χιονώδη Θρήκην κατέχει,
Ξείνου πατρῴου φυλακαῖσιν. ἔσται τι νέον,
Ἥξει τι μέλος γοερὸν γοεραῖς.
Οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
Φρίσσει, ταρβεῖ.
Ποῦ ποτε θείαν Ἑλένου ψυχὰν,
Ἢ Κασάνδρας ἐσίδω, Τρωάδες,
Ὥς μοι κρίνωσ' ὀνείρους;
Εἶδον γὰρ βαλιὰν ἔλαφον
Λύκου αἵμονι χαλᾷ σφαζομέναν,
Ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ.
Οἰκτρῶς. καὶ τόδε δεῖμά μοι
Ἦλυθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς,
Φάντασμ' Ἀχιλλῆος.
Ἤτει δὲ γέρας, τῶν πολυμόχθων
Τινὰ Τρωϊάδων.
Ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
Πέμψατε, δαίμονες, ἱκετεύω.

Χορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χορ. Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην,
Τὰς δεσποσύνους σκηνὰς προλιποῦσα,
Ἵν' ἐκληρώθην καὶ προσετάχθην
Δούλη, πόλεως ἀπελαυνομένη
Τῆς Ἰλιάδος λόγχης αἰχμῇ,
Δορυθήρατος πρὸς Ἀχαιῶν,
Οὐδὲν παθέων ἀποκουφίζουσ',
Ἀλλ' ἀγγελίας βάρος ἀραμένη
Μέγα, σοί τε γύναι κήρυξ ἀχέων.
Ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
Λέγεται δόξαι, σὴν παῖδ' Ἀχιλλεῖ
Σφάγιον θέσθαι. τύμβου δ' ἐπιβὰς,
Οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις
Τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
Λαίφη προτόνοις —— Ἐπερειδομένας,
Τάδε θωΰσσων.
Ποῖ δὴ Δαναοὶ —— Τὸν ἐμὸν τύμβον
Στέλλεσθε —— Ἀγέραστον ἀφέντες;
Πολλῆς δ' ἔριδος συνέπεσε κλύδων.
Δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
Στρατὸν αἰχμητὴν, τοῖς δ' οὐχὶ δοκοῦν.
Τύμβῳ σφάγιον, τοῖς μὲν διδόναι
Ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν,
Τῆς μαντιπόλου βάκχης ἀνέχων
Λέκτρ' Ἀγαμέμνων.
Τὼ Θησείδα δ' ὄζω Ἀθηνῶν
Δισσῶν μύθων ῥήτορες ἦσαν.
Γνώμῃ δὲ μιᾷ συνεχωρείτην,
Τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
Αἵματι χλωρῷ. τὰ δὲ Κασσάνδρας
Λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλλείας.

Πρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρόσθεν θήσειν ποτὲ λόγχης.
Σπουδαὶ δὲ λόγων κατατεινομένων
Ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων
Κόπις, ἡδυλόγος, δημοχαριστὴς,
Λαερτιάδης πείθει στρατιὰν,
Μὴ τὸν ἄριστον Δαναῶν πάντων,
Δούλων σφαγίων οὕνεκ᾽ ἀπωθεῖν.
Μὴ δέ τιν᾽ εἰπεῖν παρὰ Περσεφόνῃ
Στάντα φθιμένων,
Ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
Τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
Ἥξει δ᾽ Ὀδυσσεὺς ὅσον οὐκ ἤδη.
Πῶλον ἀφέλξων σῶν ἀπὸ μαζῶν,
Ἔκ τε γεραιᾶς χειρὸς ὁρμήσων.
Ἀλλ᾽ ἴθι ναοὺς, ἴθι πρὸς βωμοὺς.
Ἵζ᾽ Ἀγαμέμνονος ἱκέτις γονάτων.
Κήρυσσε θεοὺς τούς τ᾽ Οὐρανίδας,
Τοὺς θ᾽ ὑπὸ γαῖαν. ἢ γάρ σε λιταὶ
Διακωλύσουσ᾽ ὀρφανὰν εἶναι
Παιδὸς μελέας, ἤ δεῖ σ᾽ ἐπιδεῖν
Τύμβου προπετῆ φοινισσομέναν
Αἵματι παρθένον, ἐκ χρυσοφόρου
Δειρῆς, νασμῷ μελαναυγεῖ.

Ἑκά. Οἲ ἐγὼ μελέα. τί ποτ᾽ ἀπύσω;
Ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
Δειλαία, δειλαίου γήρως,
Δουλείας τᾶς οὐ τλατᾶς,
Τᾶς οὐ φερτᾶς. ὤ μοι μοι.
Τίς ἀμύνει μοι; ποία γέννα;
Ποία δὲ πόλις;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
Ποίαν, ἢ ταύταν ἢ κείναν
Στείχω; ποῖ δ' ἥσω; ποῦ τις Θεῶν
Ἢ δαιμόνων ἐπαρωγός;
Ὦ κακ' ἐνεγκοῦσαι Τρῳάδες,
Ὦ κάκ' ἐνεγκοῦσαι πήματα,
Ἀπωλέσατ', ὠλέσατ'. οὐκέτι μοι
Βίος ἀγαςὸς ἐν φάει.
Ὦ τλᾶμον ἄγησαί μοι
Ποῦς, ἄγησαι τᾷ γραίᾳ
Πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
Δυςανοτάτας ματέρος,
Ἔξελθ', ἔξελθ' οἴκων. ἀΐε ματέρος.
Αὐδάν, ὦ τέκνον, ὡς ἴδῃς
Οἵαν οἵαν
Ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.
Πολ. Ἰὼ μᾶτερ μᾶτερ, τί βοᾷς; τί νέον
Κηρύξασ', οἴκων μ' ὥς τ' ὄρνιν
Θάμβει τῷδ' ἐξέπταξας;
Ἑκά. Ὤμοι τέκνον.
Πολ. Τί με δυσφημεῖς, φροίμιά μοι κακά;
Ἑκά. Αἶ αἶ σᾶς ψυχᾶς.
Πολ. Ἐξαύδα, μὴ κρύψῃς δαρόν.
Δειμαίνω δειμαίνω μᾶτερ,
Τί ποτ' ἀναςένεις;
Ἑκά. Ὦ τέκνον, τέκνον —— Μελέας μαςός.
Πολ. Τί τόδ' ἀγγέλλεις;
Ἑκά. Σφάξαι σ' Ἀργείων κοινᾷ
Συντείνει πρὸς τύμβον γνώμῃ
Πηλείδᾳ γενά.
Πολ. Οἴμοι μᾶτερ, πῶς φθέγγῃ

Ἀμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Α᾽μέγαρτα κακῶν;
Μαΐυσόν μοι, μαΐυσόν μοι μᾶτερ.
Ἑκά. Αὐδῶ παῖ δυσφήμους φάμας,
Α᾽γγέλλουσ᾽, Α᾽ργείων δόξαι ψήφῳ,
Τᾶς σᾶς περί μοι ψυχᾶς.
Πολ. Ὦ δεινὰ παθοῦσ᾽, ὦ παντλᾶμον,
Ὦ δυστάνου μᾶτερ βιοτᾶς,
Οἵαν οἵαν αὖ σοι λώβαν ἐχθίσταν,
Α᾽ῤῥήταν τ᾽ ὦρσέ τις δαίμων.
Οὐκ ἔτι σοι παῖς ἅδ᾽, οὐκέτι δὴ
Γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω,
Σκύμνον γάρ μ᾽, ὥς τ᾽ ἀειθρέπταν
Μόσχον δειλαία συνδουλεύσω,
Ε᾽σόψει χειρὸς ἀναρπασθεῖσαν
Σᾶς, ἀπολαιμότομόν τ᾽ ἀΐδᾳ
Γᾶς ὑποπεμπομέναν σκότον.
Ε᾽́νθα νεκρῶν μέτα ἁ τάλαινα κείσομαι.
Καὶ σὲ μὲν μᾶτερ δύστανε
Κλαίω πανοδύρτοις θρήνοις.
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαντ᾽
Οὐ μετακλαίομαι· ἀλλὰ θανεῖν μοι
Ξυντυχία κρείσσων ἐκύρησεν.

## ΙΑΜΒΟΙ.

Χορ. Καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδός,
Ἑκάβη, νέον τι πρός σε σημανῶν ἔπος.
Ὀδυ. Γύναι, δοκῶ μέν σ᾽ εἰδέναι γνώμην στρατοῦ,
Ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ᾽ ὅμως φράσω.
Ε᾽́δοξ᾽ Α᾽χαιοῖς παῖδα σὴν Πολυξένην,
Σφάξαι πρὸς ὀρθὸν χῶμ᾽ Α᾽χιλλείου τάφου.
Ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης

Τάσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τάφεσιν εἶναι. θύματος δ' ἐπιστάτης,
Ἱερεύς τ' ἐπέστη τῶδε, παῖς Ἀχιλλέως.
Οἶσθ' ὖν ὃ δράσεις; μήτ' ἀποσπασθῇς βίᾳ,
Μήτ' εἰς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί.
Γίνωσκε δ' ἀλκὴν, καὶ παρυσίαν κακῶν
Τῶν σῶν. Σοφόν τι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.
Ἑκά. Αἲ αἲ, παρέστηχ', ὡς ἔοικ', ἀγὼν μέγας,
Πλήρης στεναγμῶν, ὐδὲ δακρύων κενός.
Κἀγὼ γὰρ ὐκ ἔθνησκον, ὖ μ' ἐχρῆν θανεῖν.
Οὐδ' ὤλεσέ με Ζεὺς, τρέφει δ' ὅπως ὁρῶ
Κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
Εἰ δ' ἔστι τοῖς δύλοισι τὺς ἐλευθέρυς
Μὴ λυπρὰ, μὴ δὲ καρδίας δηκτήρια
Ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
Ἡμᾶς δ' ἀκῦσαι τὺς ἐρωτῶντας τάδε.
Ὀδυ. Ἔξεστ', ἐρώτα, τῦ χρόνυ γὰρ ὐ φθονῶ.
Ἑκά. Οἶσθ' ἡνίκ' ἦλθες Ἰλίυ κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
Φόνυ σταλαγμοὶ σὴν κατέσταζον γένυν.
Ὀδυ. Οἶδ'. ὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μυ.
Ἑκά. Ἔγνω δέ σ' Ἑλένη, καὶ μόνη κατεῖπέ μοι.
Ὀδυ. Μεμνήμεθ', εἰς κίνδυνον ἐλθόντες μέγαν.
Ἑκά. Ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
Ὀδυ. Ὥς τ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
Ἑκά. Ἔσωσα δῆτ', ἐξέπεμψά τε χθονός;
Ὀδυ. Ὥς τ' εἰσορᾶν φέγγος ἡλίυ τόδε.
Ἑκά. Τί δῆτ' ἔλεξας, δῦλος ὢν ἐμὸς τότε;
Ὀδυ. Πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
Ἑκά. Οὔκυν κακύνῃ τοῖσδε τοῖς βυλεύμασιν,
Ὃς ἐξ ἐμῦ μὲν ἔπαθες, οἷα φὴς παθεῖν,
Δρᾷς δ' ὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;

Ἀχα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
Ζηλοῦτε τιμάς· μηδὲ γινώσκοισθέ μοι,
Οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρὴ σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Εἰς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρὴ τάφῳ πρόσφαγμα,
Κείνη γὰρ ὤλεσέ νιν, εἰς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμαλώτων χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
Ἡ Τυνδαρὶς γὰρ εἶδος ἐκπρεπεστάτη.
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧττον ηὑρέθη.
Τῷ μὲν δικαίῳ, τόνδ' ἁμιλλῶμαι λόγον.
Ἃ δ' ἀντιδοῦναι δεῖ σ', ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φής, χερὸς,
Καὶ τῆσδε γεραιᾶς προσπίτνων παρηΐδος.
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
Μηδὲ κτάνητε· τῶν τεθνηκότων ἅλις,
Ταύτῃ γέγηθα, κἀπιλήθομαι κακῶν,
Ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχή.
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν, ἃ μὴ χρεών.
Οὐδ' εὐτυχοῦντας, εὖ δοκεῖν πράξειν ἀεί.
Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι.

Τὸν πάντα δ' ὄλβον, ἦμαρ ἕν μ' ἀφείλετο.
Ἀλλ' ὦ φίλον γένειον, αἰδέσθητί με.
Οἴκτειρον. ἐλθὼν δ' εἰς Ἀχαιϊκὸν στρατὸν
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος;
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε,
Βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος,
Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
Τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ τὸ σὸν,
Πείσει. Λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
Κἀκ τῶν δοκούντων αὐτὸς, οὐ ταυτὸν σθένει.
Χορ. Οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
Κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.
Ὀδυ. Ἑκάβη, διδάσκου. μὴ δὲ τῷ θυμουμένῳ
Τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὲν σὸν σῶμ', ὑφ' οὗπερ ηὐτύχουν,
Σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
Ἃ δ' εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
Σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
Θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
Οὔκουν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
Χρώμεσθ', ἐπεὶ δ' ὄλωλε, μὴ χρώμεσθ' ἔτι;
Εἶεν, τί δῆτ' ἐρεῖ τις, ἢν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις, πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

Τὸν κατθανόνθ᾽ ὁρῶντες οὐ τιμώμενον;
Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ᾽ ἡμέραν,
Κ᾽ εἰ σμίκρ᾽ ἔχοιμι, πάντ᾽ ἂν ἀρκούντως ἔχοι.
Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
Τὸν ἐμὸν ὁρᾶσθαι. διὰ μακροῦ γὰρ ἡ χάρις.
Εἰ δ᾽ οἰκτρὰ πάσχειν φῄς, τάδ᾽ ἀντάκουέ μου.
Εἰσὶ παρ᾽ ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
Γραῖαι γυναῖκες, ἠδὲ πρέσβυται, σέθεν,
Νύμφαι τ᾽ ἀρίστων νυμφίων τητώμεναι,
Ὧν ἥδε κεύθει σώματ᾽ Ἰδαία κόνις.
Τόλμα τάδ᾽. ἡμεῖς δ᾽ εἰ κακῶς νομίζομεν
Τιμᾷν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν.
Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους, φίλους
Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
Θαυμάζεθ᾽. ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
Ὑμεῖς δ᾽ ἔχηθ᾽ ὅμοια τοῖς βουλεύμασιν.

Χορ. Αἲ αἶ, τὸ δοῦλον ὡς κακὸν πέφυκ᾽ ἀεί.
Τολμᾷ θ᾽ ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.

Ἑκά. Ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
Φροῦδοι, μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου.
Σὺ δ᾽, εἴτι μείζω δύναμιν, ἢ μήτηρ ἔχεις,
Σπούδαζε, πάσας ὥς τ᾽ ἀηδόνος στόμα
Φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ᾽ οἰκτρῶς τοῦδ᾽ Ὀδυσσέως γόνυ,
Καὶ πεῖθ᾽ (ἔχεις δὲ πρόφασιν. ἔστι γὰρ τέκνα
Καὶ τῷδε) τὴν σὴν ὥς τ᾽ ἐποικτεῖραι τύχην.

Πολ. Ὁρῶ σ᾽, Ὀδυσσεῦ, δεξιὰν ὑφ᾽ εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος.
Θάρσει, πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία.
Ὡς ἕψομαί σοι, τοῦ τ᾽ ἀναγκαίου χάριν,

Θα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θανεῖν τε χρῄζουσ', εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ἣ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων. τοῦτό μοι πρῶτον βίου.
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο.
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμου
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι.
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξὶ, παρθένοισί τ' ἀπόβλεπτος μέτα.
Ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον.
Νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
Θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ὄν.
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας.
Τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορός τε χ' ἁτέρων πολλῶν κάσιν.
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα, κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητὸς ποθὲν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ' ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', ᾅδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
Οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ὑμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ,
Λέγουσα, μηδὲ δρῶσα. συμβούλου δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.
Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η᾽ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
Χορ. Δεινὸς χαρακτὴρ, κἀπίσημος ἐν βροτοῖς,
Ἐσθλῶν γενέσθαι. κἀπὶ μεῖζον ἔρχεται
Τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
Ἑκά. Καλῶς μὲν εἶπας θύγατερ. ἀλλὰ τῷ καλῷ
Λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν,
Ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε.
Ἡμᾶς δ᾽ ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε, μὴ φείδεσθ᾽. ἐγὼ τέκον Πάριν
Ὃς παῖδα Θέτιδος ὤλεσεν, τόξοις βαλών.
Ὀδυ. Οὐ σ᾽ ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
Φάντασμ᾽ Ἀχαιοὺς, ἀλλὰ τήνδ᾽ ᾐτήσατο.
Ἑκά. Ὑμεῖς δέ μ᾽ ἀλλὰ θυγατρὶ συμφονεύσατε,
Καὶ δὶς τόσον πόμ᾽ αἵματος γενήσεται,
Γαίᾳ· νεκρῷ τε τῷ τάδ᾽ ἐξαιτουμένῳ.
Ὀδυ. Ἅλις κόρης σῆς θάνατος, οὐ προσοιστέος
Ἄλλος πρὸς ἄλλῳ. μηδὲ τόνδ᾽ ὀφείλομεν.
Ἑκά. Πολλή γ᾽ ἀνάγκη, θυγατρὶ συνθανεῖν ἐμέ.
Ὀδυ. Πῶς; οὐ γὰρ οἶδα, δεσπότας κεκτημένος.
Ἑκά. Ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆς δ᾽ ἕξομαι.
Ὀδυ. Οὔ μήν γε πείσῃ τοῖσι σοῦ σοφωτέροις;
Ἑκά. Ὡς τῆς δ᾽ ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.
Ὀδυ. Ἀλλ᾽ οὐδ᾽ ἐγώ μιν τήνδ᾽ ἄπειμ᾽ αὐτοῦ λιπών.
Πολ. Μῆτερ, πιθοῦ μοι. καὶ σὺ παῖ Λαερτίου,
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
Σὺ δ᾽ ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
Βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
Γέροντα χρῶτα, πρὸς βίαν ὠθουμένη,
Ἀσχημονῆσαί τ᾽ ἐκ νέου βραχίονος
Σπασθεῖσ᾽; ἃ πείσῃ μὴ σύγ᾽. οὐ γὰρ ἄξιον.

Ἀλλ᾽

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς, καὶ παρειὰν προσβαλεῖν παρηΐδι,
Ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατα,
Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψομαι.
Τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων.
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
Ἑκά. Ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν;
Πολ. Ἄνυμφος, ἀνυμέναιος, ὧν μ' ἐχρῆν τυχεῖν.
Ἑκά. Οἰκτρὰ σὺ τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
Πολ. Ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
Ἑκά. Οἴμοι, τί δράσω; ποῖ τελευτήσω βίον;
Πολ. Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
Ἑκά. Ἡμεῖς δὲ, πεντήκοντ' ἄμοιροι δὴ τέκνων.
Πολ. Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἴπω πόσιν;
Ἑκά. Ἄγγελλε, πασῶν ἀθλιωτάτην ἐμέ.
Πολ. Ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
Ἑκά. Ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.
Πολ. Χαῖρ' ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τ' ἐμή.
Ἑκά. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστι χαρά.
Πολ. Ὅ, τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
Ἑκά. Εἰ ζῇ γ'. ἀπιστῶ δ'. ὧδε πάντα δυστυχῶ.
Πολ. Ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.
Ἑκά. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
Πολ. Κόμιζ' Ὀδυσσεῦ μ' ἀμφιθεὶς κάρα πέπλοις,
Ὡς πρὶν σφαγῆναί γ', ἐκτέτηκα καρδίαν
Θρήνοισι μητρὸς, τήνδ' ἔτ' ἐκτήκω γόοις.
Ὦ φῶς. προσειπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι.
Μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
Βαίνω μεταξὺ, καὶ πυρᾶς Ἀχιλλέως.
Ἑκά. Οἲ ἐγώ· προλείπω. λύεται δέ μου μέλη.
Ὦ θύγατερ, ἅψαι μητρός. ἔκτεινον χέρα.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δός. μὴ λίπῃς μ' ἄπαιδ'. ἀπολώμεθα φίλαι.
Ὡς τὴν λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων,
Αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ'.

### Στροφὴ Α'.

Χορ. Αὔρα ποντιὰς αὔρα,
Ἅτε ποντοπόρους κομίζεις.
Θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
Ποῖ με τὰν μελέαν πορεύσεις;
Τῷ δουλόσυνος πρὸς οἶκον
Κτηθεῖσ' ἀφίξομαι;
Ἢ Δωρίδος ὅρμον αἴας,
Ἢ Φθιάδος, ἔνθα τὸν καλλίστων
Ὑδάτων πατέρα
Φασὶν Ἀπιδανὸν πεδία λιπαίνειν;

### Ἀντιστροφὴ Α'.

Ἢ νᾶσον ἁλιήρει
Κώπᾳ, πεμπομέναν τάλαιναν,
Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
Ἔνθα πρωτόγονός τε φοῖνιξ,
Δάφνα θ' ἱεροὺς ἀνέσχε
Πτόρθους Λατοῖ φίλᾳ,
Ὠδῖνος ἄγαλμα δίας;
Σὺν Δηλιάσι τε κούραισιν
Ἀρτέμιδός τε θεᾶς
Χρυσέαν ἄμπυκα, τόξα τ' εὐλογήσω;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφὴ Β΄.

Ἢ Παλλάδος ἐν πόλει
Τᾶς καλλιδίφρου Ἀθα-
ναίας ἐν κροκέῳ πέπλῳ
Ζεύξομαι ἅρματι πώλους,
Ἐν δαιδαλέαισι ποικίλ-
λουσ᾽ ἀνθοκρόκοισι πήναις;
Ἢ Τιτάνων γενεὰν,
Τὰν Ζεὺς ἀμφιπύρῳ κοιμίζει
Φλογμῷ Κρονίδας;

Ἀντιστροφὴ Β΄.

Ἑκά. Ὤμοι τεκέων ἐμῶν,
Ὤμοι πατέρων, χθονός
Θ᾽, ἃ καπνῷ κατερείπεται
Τυφομένα, δορίκτητος
Ὑπ᾽ Ἀργείων. ἐγὼ δ᾽ ἐν
Ξείνᾳ χθονὶ δὴ κέκλημαι
Δούλα, λιποῦσ᾽ Ἀσίαν
Εὐρώπας θεράπναν,
Ἀλλάξασ᾽ ἀΐδα θαλάμους.

ΙΑΜΒΟΙ.

Ταλ. Ποῦ τὴν ἄνασσαν δήποτ᾽ οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι Τρῳάδες κόραι;
Χορ. Αὕτη πέλας σου νῶτ᾽ ἔχουσ᾽ ἐπὶ χθονὶ
Ταλθύβιε κεῖται, συγκεκλεισμένη πέπλοις.
Ταλ. Ὦ Ζεῦ, τί λέξω; πότερά σ᾽ ἀνθρώπους ὁρᾷν,
Ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην,
Ψευδῆ δοκοῦντας δαιμόνων εἶναι γένος,


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν;
Οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
Οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκε δορί.
Αὐτὴ δὲ, δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
Κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
Φεῦ, φεῦ, Γέρων μὲν εἰμ', ὅμως δέ μοι θανεῖν
Εἴη πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
Ἀνίστασ' ὦ δύστηνε, καὶ μετάρσιον
Πλευρὰν ἔπαιρε, καὶ τὸ πάλλευκον κάρα.
Ἑκά. Ἔα. τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷ
Κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;
Ταλ. Ταλθύβιος ἥκω Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος ὦ γύναι μέτα.
Ἑκά. Ὦ φίλτατ', ἆρα, κἀμ' ἐπισφάξαι τάφῳ
Δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
Σπεύδωμεν, ἐγκονῶμεν. ἡγοῦ μοι γέρον.
Ταλ. Σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς γύναι,
Ἥκω μεταστείχων σε. πέμπουσι δέ με
Δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός.
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ἑκά. Οἴμοι, τί λέξεις, οὐκ ἄρ' ὡς θανουμένους
Ὄλωλας ὦ παῖ μητρὸς ἁρπασθεῖσ' ἄπο.
Ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ'. ὦ τάλαιν' ἐγώ.
Πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
Ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθρὰν, γέρον
Κτείνοντες; εἰπὲ, καίπερ οὐ λέξων φίλα.
Ταλ. Διπλᾶ με χρήζεις δάκρυα κερδᾶναι, γύναι,
Σῆς παιδὸς οἴκτῳ. νῦν τε γὰρ λέγων κακὰ
Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πλή-

Πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς,
Ἔστησ' ἐπ' ἄκρου χώματος· πέλας δ' ἐγὼ,
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
Ἕσποντο. πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, ἔῤῥει χειρὶ παῖς Ἀχιλλέως
Χοὰς θανόντι πατρί. σημαίνει δέ μοι
Σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ.
Κἀγὼ παραστὰς, εἶπον ἐν μέσοις τάδε.
Σιγᾶτ' Ἀχαιοί. σῖγα πᾶς ἔστω λεώς.
Σίγα, σιώπα. νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν. ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
Δέξαι χοάς μου τάσδε κηλητηρίους,
Νεκρῶν ἀγωγούς. ἐλθὲ δ' ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅσοι δωρούμεθα,
Στρατός τε κἀγώ. πρευμενὴς δ' ἡμῖν γενοῦ,
Λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
Νεῶν. δὸς ἡμῖν πρευμενοῦς τ' ἀπ' Ἰλίου
Νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ. λογάσι δ' Ἀργείων στρατοῦ
Νεανίαις ἔνευσε, παρθένον λαβεῖν.
Ἣ δ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον.
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω. μή τις ἅψηται χροὸς
Τοὐμοῦ. παρέξω γὰρ δέρην εὐκαρδίως,
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
Πρὸς θεῶν μεθέντες, κτείνατ'. Ἐν νεκροῖσι γὰρ
Δούλη κεκλῆσθαι βασιλὶς οὖσ', αἰσχύνομαι.

Λαοὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λαοὶ δ' ἐπεῤῥόθησαν. Ἀγαμέμνων τ' ἄναξ
Εἶπε μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος·
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος,
Ἔῤῥηξε λαγόνος εἰς μέσον παρ' ὀμφαλόν.
Μαστούς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματος
Κάλλιστα. καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον.
Ἰδοὺ τόδ' εἰ μὲν στέρνον ὦ νεανία
Παίειν προθυμῇ, παῖσον· εἰ δ' ὑπ' αὐχένα
Χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
Ὁ δ' οὐ θέλων τε καὶ θέλων οἴκτῳ κόρης,
Τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς.
Κρουνοὶ δ' ἐχώρουν, ἡ δὲ, καὶ θνήσκουσ', ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτειν θ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον.
Ἀλλ' οἱ μὲν αὐτῶν, τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον. οἱ δὲ πληροῦσι πυρὰν,
Κορμοὺς φέροντες πευκίνους. ὁ δ' οὐ φέρων,
Πρὸς τοῦ φέροντος τοιάδ' ἤκουε κακά.
Ἕστηκας ὦ κάκιστε, τῇ νεάνιδι
Οὐ πέπλον οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ,
Ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγων
Παιδὸς θανούσης. εὐτεκνωτάτην δέ σε
Πασῶν γυναικῶν, δυστυχεστάτην ὁρῶ.
Χορ. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πόλει τε τῇ μῇ. Θεῶν ἀναγκαῖον τόδε.
Ἑκά. Ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ,τι βλέψω κακῶν,
Πολλῶν παρόντων. ἢν γὰρ ἅψωμαι τινὸς,
Τὸ δ' οὐκ ἐᾷ με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
Λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
Καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος,
Οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός.
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
Γενναῖος. Οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ
Τυχοῦσα καιροῦ θεόθεν, εὔσταχυν φέρει·
Χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν,
Κακὸν δίδωσι καρπόν. ἀνθρώποις δ' ἀεὶ,
Ὁ μὲν πονηρὸς, οὐδὲν ἄλλο πλὴν κακός.
Ὁ δ' ἐσθλὸς, ἐσθλός· οὐδὲ συμφορᾶς ὕπο
Φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
Ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
Ἔχει γέτοι τι καὶ τὸ θρεφθῆναι καλῶς,
Δίδαξιν ἐσθλοῦ. τοῦτο δ' ἤν τις εὖ μάθοι,
Οἶδε τόγ' αἰσχρὸν, κανόνι τοῦ καλοῦ μαθών.
Καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην.
Σὺ δ' ἐλθὲ καὶ σήμηνον Ἀργείοις τάδε,
Μὴ θιγγάνειν μου μηδέν', ἀλλ' εἴργειν ὄχλον
Τῆς παιδός. Ἐν γὰρ μυρίῳ στρατεύματι,
Ἀκόλαστος ὄχλος, ναυτική τ' ἀναρχία,
Κρείσσων πυρός. κακὸς δ' ὁ μή τι δρῶν κακόν.
Σὺ δ' αὖ λαβοῦσα τεῦχος ἀρχαία λάτρει,
Βάψασ' ἔνεγκε δεῦρο ποντίας ἁλὸς,
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν,
Νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον
Λούσω. προθῶμαί θ' ὡς μὲν ἀξίαν, πόθεν;
Οὐκ ἂν δυναίμην. ὡς δ' ἔχω· τί γὰρ πάθω;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
Αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
Ναίουσιν, εἴ τις τὰς νεωστὶ δεσπότας
Λαθοῦσ', ἔχει τι κλέμμα τῶν αὐτῆς δόμων.
Ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
Ὦ πλεῖστ' ἔχων κάλλιστά τ' εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων;
Ὡς εἰς τὸ μηδὲν ἥκομεν, φρονήματος
Τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα;
Ὁ μέν τις ἡμῶν πλουσίοις ἐν δώμασιν,
Ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
Τάδ' οὐδέν. ἄλλως φροντίδων βουλεύματα
Γλώσσης τε κόμποι. Κεῖνος δ' ὀλβιώτατος,
Ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

## ΕΠΩΔΙΚΑ

### Στροφή.

Χορ. Ἐμοὶ χρῆν συμφορὰν,
Ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
Ἰδαίαν ὅτε πρῶτον ὕλαν
Ἀλέξανδρος εἰλατίναν
Ἐτάμεθ', ἅλιον ἐπ' οἶδμα ναυστολήσων,
Ἑλένας ἐπὶ λέκτρα, τὰν καλ-
λίσταν ὁ χρυσοφαὴς
Ἅλιος αὐγάζει.

### Ἀντιστροφή.

Πόνοι γὰρ, καὶ πόνων
Ἀνάγκαι κρείσσονες κυκλοῦνται.
Κοινὸν δ' ἐξ ἰδίας ἀνοίας

Κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κακὸν τᾷ Σιμουντίδι γᾷ.
Ὀλέθριον ἔμολε,
Συμφορά τ' ἀπ' ἄλλων.
Ἐκρίθη δ' ἔρις, ἂν ἐν Ἴδᾳ
Κρίνει τρισσὰς μακάρων
Παῖδας ἀνὴρ βούτας,

Ἐπῳδός.

Ἐπὶ δορὶ, καὶ φόνῳ, καὶ ἐμῶν
Μελάθρων λώβᾳ.
Στένει δὲ καί τις ἀμφὶ τὸν
Εὔῤῥουν Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα.
Πολιόν τ' ἐπὶ κρᾶτα μήτηρ,
Τέκνων θανόντων, τίθεται
Χέρα, δρύπτεταί τε παρειὰν,
Δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

## ΙΑΜΒΟΙ.

Θερ. Γυναῖκες, Ἑκάβη πῦ ποθ' ἡ παναθλία,
Ἡ πάντα νικῶσ' ἄνδρα, καὶ θῆλυν σπορὰν
Κακοῖσιν; ὐδεὶς στέφανον ἀνθαιρήσεται.
Χορ. Τί δ' ὦ τάλαινα σῆς κακογλώσσυ βοῆς;
Ὡς ὔποθ' εὕδει λυπρά συ κηρύγματα;
Θερ. Ἑκάβῃ φέρω τόδ' ἄλγος. Ἐν κακοῖσι δὲ
Οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.
Χορ. Καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
Ἥδ'. εἰς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.
Θερ. Ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,

Δέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δέσποιν', ὄλωλας. οὐκέτ' εἶ βλέπουσα φῶς,
Ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.
Ἑκά. Οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας.
Ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
Ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
Πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
Θερ. Ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
Θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.
Ἑκά. Οἲ ἐγὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
Τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;
Θερ. Ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
Τόνδ' ἀλλ' ἄθρησον σῶμα, γυμνωθὲν νεκροῦ,
Εἴ σοι φανεῖται θαῦμα, καὶ παρ' ἐλπίδας.
Ἑκά. Οἴμοι. βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα
Πολύδωρον, ὅν μοι Θρῄξ ἔσωζ' οἴκοις ἀνήρ.
Ἀπωλόμην δύστηνος. οὐκέτ' εἰμὶ δή.
Ὦ τέκνον, τέκνον, αἶ, αἶ. κατάρχομαι νόμον
Βακχεῖον ἐξ ἀλάστορος
Ἀρτιμαθὴς κακῶν.
Θερ. Ἔγνως γὰρ ἄτην παιδός, ὦ δύστηνε σύ;

## ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

### Στροφὴ Α'.

Ἑκά. Ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
Ἕτερα δ' ἀφ' ἑτέρων κακὰ, κακῶν κυρεῖ.
Οὐδέ ποτ' ἀδάκρυτος, ἀστένακτος
Ἁμέρα μ' ἐπισχήσει.
Χορ. Δεῖν' ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

Στρο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφὴ Β'.

Ἑκά. Ὦ τέκνον τέκνον παλαίνας
Μαζὸς, τίνι μόρῳ θνήσκεις;
Τίνι πότμῳ κεῖσαι;
Πρὸς τίνος ἀνθρώπων;
Θερ. Οὐκ οἶδ᾽. ἐπ᾽ ἀκταῖς νιν κυρῶ θαλασσίαις.
Ἑκά. Ἔκβλητον, ἢ πέσημα φονίȣ δορός;
Θερ. Ἐν ψαμάθῳ λευρᾷ
Πόντιον ἐξένεγκε πελάγιος κλύδων.

Στροφὴ Γ'.

Ἑκά. Ὤμοι, αἶ αἶ.
Ἔμαθον ἐνύπνιον, ὀμμάτων τ᾽ ἐμῶν
Ὄψιν, ( ȣ̓̔ με παρέβα φάσμα
Μελανόπτερον ) ἂν ἐσεῖδον
Ἀμφίσ᾽ ὦ τέκνον, ȣ̓κέ-
τ᾽ ὄντα Διὸς ἐν φάει.
Χορ. Τίς γάρ νιν ἔκταν᾽, οἶσθ᾽ ὀνειρόφρον, φράσαι;

Στροφὴ Δ'.

Ἑκά. Ἐμὸς ξένος Θρήϊκιος ἱππότας,
Ἵν᾽ ὁ γέρων πατὴρ ἔθετό νιν κρύψας.
Χορ. Ὤμοι, τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
Ἑκά. Ἄῤῥητ᾽, ἀνωνόμαστα, θαυμάτων πέρα,
Οὐχ ὅσιά τ᾽, ȣ̓δ᾽ ἀνεκτά. πȣ̃ δίκα ξένων;

Στροφὴ Ε'.

Ἰὼ κατάρατ᾽ ἀνδρῶν, Ὡς διεμοιράσω
Χρόα, σιδαρέῳ Τεμὼν φασγάνῳ
Μέλεα τȣ̃δε παιδὸς, ȣ̓δ᾽ ᾤκτίσω.

Χορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χορ. Ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
Δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
Ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος· τοὐνθένδε σιγῶμεν φίλαι.

## ΙΑΜΒΟΙ.

Ἀγα. Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
Ἐλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι
Μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
Ἡμεῖς μὲν οὖν εἰῶμεν, οὐδὲ ψαύομεν.
Σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
Ἥκω δ' ἀποστελῶν σε. τἀκεῖθεν γὰρ εὖ
Πεπραγμέν' ἐστίν, εἴ τι τῶνδ' ἐστὶ καλῶς.
Ἔα. τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
Θανόντα Τρώων; οὐ γὰρ Ἀργείων πέπλοι
Δέμας περιπτύσσοντες, ἀγγέλλουσί μοι.
Ἑκά. Δύστην'. ἐμαυτὴν γὰρ λέγω λέγουσά σε.
Ἑκάβη. τί δράσω, πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
Ἀγα. Τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν,
Ὀδύρῃ, τὸ πραχθὲν δ' οὐ λέγεις τίς ἔσθ' ὅδε;
Ἑκά. Ἀλλ' εἴ με δούλην, πολεμίαν θ' ἡγούμενος,
Γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθα.
Ἀγα. Οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων,
Ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
Ἑκά. Ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
Μᾶλλον φρένας, τοῦδ' ὄντος οὐχὶ δυσμενοῦς;
Ἀγα. Εἴ τοι με βούλει τῶνδε μηδὲν εἰδέναι,
Εἰς ταυτὸν ἥκεις. καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
Ἑκά. Οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ

Τέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
Τολμᾶν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων,
Καὶ σοῦ γενείου, δεξιᾶς τ' εὐδαίμονος.
Ἀγα. Τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
Αἰῶνα θέσθαι; ῥᾴδιον γάρ ἐστί σοι.
Ἑκά. Οὐ δῆτα. τοὺς κακοὺς δὲ τιμωρουμένη,
Αἰῶνα τὸν σύμπαντα δουλεῦσαι θέλω.
Ἀγα. Καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
Ἑκά. Οὐδέν τι τούτων ὧν σὺ δοξάζεις ἄναξ.
Ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
Ἀγα. Ὁρῶ. τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
Ἑκά. Τοῦτόν ποτ' ἔτεκον. κἄφερον ζώνης ὕπο.
Ἀγα. Ἔστι δὲ τίς σῶν οὗτος ὦ τλῆμον τέκνων;
Ἑκά. Οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
Ἀγα. Ἦ γὰρ τιν' ἄλλον ἔτεκες, ἢ κείνους γύναι;
Ἑκά. Ἀνόνητά γ' ὡς ἔοικε τόνδ', ὃν εἰσορᾷς.
Ἀγα. Ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πόλις;
Ἑκά. Πατήρ νιν ἐξέπεμψεν ὀῤῥωδῶν θανεῖν.
Ἀγα. Ποῖ, τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
Ἑκά. Εἰς τήνδε χώραν, οὗπερ εὑρέθη θανών.
Ἀγα. Πρὸς ἀνδρὸς ἄρχει τῆσδε Πολυμήστορα χθονός;
Ἑκά. Ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.
Ἀγα. Θνήσκει δὲ πρὸς τοῦ, καὶ τίνος πότμου τυχών;
Ἑκά. Τίνος γ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
Ἀγα. Ὦ τλῆμον, ἦ που χρυσὸν ἠράσθη λαβεῖν;
Ἑκά. Τοιαῦτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.
Ἀγα. Εὗρες δὲ ποῦ νιν; ἢ τίς ἤνεγκε νεκρόν;
Ἑκά. Ἥδ', ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
Ἀγα. Τοῦτον μαστεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
Ἑκά. Λουτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.

Ἀγα. Κτανών τιν', ὡς ἔοικεν, ἐκβάλλει ξένος.
Ἑκά. Θαλασσόπλαγκτόν γ' ὧδε διατεμὼν χρόα.
Ἀγα. Ὦ σχέτλια σὺ, τῶν ἀμετρήτων πόνων.
Ἑκά. Ὄλωλα, κοὐδὲν λοιπὸν Ἀγάμεμνον, κακῶν.
Ἀγα. Φεῦ, φεῦ. τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
Ἑκά. Οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὧν περ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
Ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
Στέργοιμ' ἄν. εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
Τιμωρὸς ἀνδρὸς, ἀνοσιωτάτου ξένου.
Ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
Δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον.
Κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
Ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων.
Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν.
Ἔκτεινε. τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
Οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
Ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως,
Ἀλλ' οἱ Θεοὶ σθένουσι, χ' ὠκείνων κρατῶν
Νόμος. Νόμῳ γὰρ τοὺς Θεοὺς ἡγούμεθα,
Καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι.
Ὃς εἰς σ' ἀνελθὼν, εἰ διαφθαρήσεται,
Καὶ μὴ δίκην δώσουσιν, οἵτινες ξένους
Κτείνουσιν, ἢ Θεῶν ἱερὰ τολμῶσι φέρειν,
Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με.
Οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς,
Ἰδοῦ με, κἀνάθρησον οἷ' ἔχω κακά.
Τύραννος ἦν ποτ', ἀλλὰ νῦν δούλη σέθεν.
Εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς, ἄπαις θ' ἅμα,
Ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν,

Οἴ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
Ἔοικα πράξειν οὐδέν. ὦ τάλαιν' ἐγώ.
Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
Μοχθοῦμεν ὡς χρὴ πάντα, καὶ μαστεύομεν.
Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν,
Μισθοὺς διδόντες μανθάνειν, ἵν' ᾖ ποτε
Πείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
Πῶς οὖν ἔτ' ἄν τις ἐλπίσαι πράξειν καλῶς;
Οἱ μὲν τοσοῦτοι παῖδες, οὐκέτ' εἰσί μοι.
Αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι.
Καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ.
Καὶ μὴν ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν. ἀλλ' ὅμως εἰρήσεται.
Πρὸς σῇσι πλευρῇς παῖς ἐμὴ κοιμίζεται,
Ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ;
Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
Χάριν τίν' ἕξει παῖς ἐμὴ, κείνης δ' ἐγώ;
Ἐκ τοῦ σκότους γὰρ, νυκτέρων τ' ἀσπασμάτων,
Φίλτρων ὁμοῦ τε, τοῖς βροτοῖς πολλὴ χάρις.
Ἄκουε δὴ νῦν. τὸν θανόντα τόνδ' ὁρᾷς;
Τοῦτον καλῶς δρῶν, ὄντα κηδεστὴν σέθεν,
Δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
Εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι,
Καὶ χερσὶ, καὶ κόμαισι, καὶ ποδῶν βάσει,
Ἢ Δαιδάλου τέχναισιν, ἢ Θεῶν τινος,
Ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων,
Κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
Ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησι φάος,
Πιθοῦ. παράσχες χεῖρα τῇ πρεσβύτιδι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τιμωρὸν, εἰ καὶ μηδέν ἐστιν. ἀλλ' ὅμως,
Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν,
Καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
Χορ. Δεινόν γε θνητοῖς, ὡς ἅπαντα συμπίτνει.
Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν.
Φίλους τιθέντες τούς γε πολεμιωτάτους,
Ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.
Ἀγα. Ἐγώ σε, καὶ σὸν παῖδα, καὶ τύχας σέθεν
Ἑκάβη δι' οἴκτου, χεῖρά θ' ἱκεσίαν ἔχω,
Καὶ βούλομαι θεῶν θ' οὕνεκ' ἀνόσιον ξένον,
Καὶ τοῦ δικαίου, τήνδε σοι δοῦναι δίκην.
Εἴ πως φανείη γ' ὥστε σοι καλῶς ἔχειν,
Στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν,
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
Ἔστι γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι.
Τὸν ἄνδρα τοῦτον Φίλον ἡγεῖται στρατὸς,
Τὸν κατθανόντα δ' ἐχθρόν. εἰ δέ σοι φίλος
Ὅδ' ἐστὶ, χωρὶς τοῦτο, κοὐ κοινὸν στρατῷ.
Πρὸς ταῦτα φρόντιζ', ὡς θέλοντα μέν μ' ἔχεις,
Σοὶ ξυμπονῆσαι, καὶ ταχὺν προσαρκέσαι.
Βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.
Ἑκά. Φεῦ, οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος.
Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
Ἢ πλῆθος αὐτὸν πόλεως, ἢ νόμων γραφαὶ
Εἴργουσι, χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
Ἐπεὶ δὲ ταρβεῖς, τῷ τ' ὄχλῳ πλέον νέμεις,
Ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
Σύνισθι μὲν γὰρ, ἤν τι βουλεύσω κακὸν
Τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.
Ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ 'πικουρία,
Πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται,

Φανῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φανῇ τις, εἶργε, μὴ δοκῶν ἐμὴν χάριν.
Τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.
Ἀγα. Πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
Λαβοῦσα γραίᾳ, φῶτα βάρβαρον κτενεῖς;
Ἢ φαρμάκοισιν, ἢ ἐπικουρίᾳ τινί;
Τίς σοι ξυνέσται χείρ; πόθεν κτήσῃ φίλους;
Ἑκά. Στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον,
Ἀγα. Τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;
Ἑκά. Σὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
Ἀγα. Καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
Ἑκά. Δεινὸν τὸ πλῆθος, σὺν δόλῳ τε δύσμαχον.
Ἀγα. Δεινόν. τὸ μέντοι θῆλυ μέμφομαι γένος.
Ἑκά. Τί δ', οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα;
Καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
Ἀλλ' ὡς γενέσθαι, τόνδ' ἐμοὶ μέθες λόγον.
Πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
Γυναῖκα. καὶ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ,
Λέξον, καλεῖ σ' ἄνασσα δήποτ' Ἰλίου
Ἑκάβη (σὸν δ' οὐκ ἔλασσον ἢ κείνης χρέος)
Καὶ παῖδας. ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
Τοὺς ἐξ ἐκείνης. τὸν δὲ νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
Ὡς τὼ δ' ἀδελφὼ πλησίον μιᾷ φλογὶ
Διστῇ μερίμνᾳ μητρὶ κρυφθῆτον χθονί.
Ἀγα. Ἔσται τάδ' οὕτω. καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
Πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν.
Νῦν δ' (οὐ γὰρ ἵησ' οὐρίας πνοὰς Θεὸς)
Μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον.
Γένοιτο δ' εὖ πως. Πᾶσι γὰρ κοινὸν τόδε,
Ἰδίᾳ θ' ἑκάστῳ, καὶ πόλει, τὸν μὲν κακὸν,
Κακόν τι πάσχειν· τὸν δὲ χρηστὸν, εὐτυχεῖν.


Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΩΔΙΚΑ.

## Στροφὴ Α'.

Χορ. Σὺ μὲν ὦ πατρὶς Ἰλιὰς,
Τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ.
Τοιόνδ' Ἑλλάνων νέφος ἀμφί σε καλύπτει,
Δορὶ δὴ δορὶ πέρσαν.
Ἀπὸ δὲ στεφάναν κέκαρσαι
Πύργων. κατὰ δ' αἰθάλου
Καπνοῦ κηλίδ' οἰκτροτάτᾳ κέχρωσαι.
Τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.

## Ἀντιστροφὴ Α'.

Μεσονύκτιος ὠλλύμαν,
Ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς
Ἐπ' ὄσσοις κίδναται.
Μολπᾶν δ' ἄπο καὶ χαροποιῶν
Θυσιῶν καταπαύσας
Πόσις, ἐν θαλάμοις ἔκειτο.
Ξυστὸν δ' ἐπὶ πασσάλῳ,
Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβαῶτα.

## Στροφὴ Β'.

Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
Μίτραισιν ἐῤῥυθμιζόμαν,
Χρυσέων ἐνόπτρων
Λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
Ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κέλευσμα δ' ἰὼ κατ' ἄστυ Τροίας
Τόδ', ὦ παῖδες Ἑλλάνων, πότε δὴ
Πότε τὰν Ἰλιάδος σκοπιὰν
Πέρσαντες, ἥξετ' ἐς οἴκους;

Ἀντιστροφὴ Β'.

Λέχη δὲ φίλα μονόπεπλος
Λιποῦσα, Δωρὶς ὡς κόρα,
Σεμνὰν προσίζουσ',
Οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων.
Ἄγομαι δὲ θανόντ' ἰδοῦσ' ἀκοίταν
Τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος.
Πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ
Νόστιμον ναῦς ἐκίνησε πόδα,
Καὶ μ' ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος.
Τάλαιν', ἀπεῖπον ἄλγει,

Ἐπῳδός.

Ταὶ τοῖν Διοσκούροιν Ἑλέναν κάσιν
Ἰδαῖόν τε βούταν
Αἰνόπαριν κατάρᾳ διδοῦσ', ἐπεί με
Γᾶς ἐκ πατρῴας ἀπώλεσεν,
Ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος,
Ἀλλ' ἀλάστορός τις οἰζύς.
Ἂν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν
Μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

## ΙΑΜΒΟΙ.

Πολ. Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ
Ἑκάβη, δακρύω σ' εἰσορῶν, πόλιν τε σὴν,
Τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φεῦ, οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
Οὔτ' αὖ καλῶς πράσσοντα, μὴ πράξειν κακῶς.
Φύρουσι δ' αὐτὰ οἱ Θεοὶ πάλιν τε καὶ πρόσω,
Ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
Σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
Θρηνεῖν, προκόπτοντ' οὐδὲν εἰς πρόσθεν κακῶν;
Σὺ δ' εἴτι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρήκης ὅροις
Ἀπὼν, ὅτ' ἦλθες δεῦρ'. ἐπεὶ δ' ἀφικόμην,
Ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι,
Εἰς ταυτὸν ἥδε συμπιτνεῖ δμωὶς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην.

Ἑκά. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει
Ἐν τῷδε πότμῳ τυγχάνουσ' ἵν' εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
Ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
Πολυμῆστορ. ἄλλως δ', αἴτιόν τι καὶ νόμος,
Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.

Πολ. Καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
Τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;

Ἑκά. Ἴδιον ἐμαυτῆς δή τι πρός σε βούλομαι
Καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.

Πολ. Χωρεῖτ'. ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σύ. προσφιλὲς δέ μοι τόδε
Στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ
Τί χρὴ τὸν εὖ πράσσοντα, μὴ πράσσουσιν εὖ
Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰμ' ἐγώ.

Ἑκά. Πρῶτον μὲν εἰπὲ, παῖδ' ὃν ἐξ ἐμῆς χερὸς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πολύδωρον, ἔκ τε πατρὸς, ἐν δόμοις ἔχεις,
Εἰ ζῇ. τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
Πολ.Μάλιστα τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
Ἑκά.Ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
Πολ.Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
Ἑκά.Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου;
Πολ.Καὶ δεῦρό γ' ὡς σὲ κρυφίως ἐζήτει μολεῖν.
Ἑκά.Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
Πολ.Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
Ἑκά.Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
Πολ.Ἥκιστ'. ὀναίμην τοῦ παρόντος, ὦ γύναι.
Ἑκά.Οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶ θέλω;
Πολ.Οὐκ οἶδα. τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
Ἑκά.Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
Πολ.Τί χρῆμ', ὃ κἀμὲ, καὶ τέκν' εἰδέναι χρεών;
Ἑκά.Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
Πολ.Ταῦτ' ἔσθ' ἃ βούλει παιδὶ σημῆναι σέθεν;
Ἑκά.Μάλιστα διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
Πολ.Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
Ἑκά.Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
Πολ.Καλῶς ἔλεξας τῇδε, καὶ σοφώτερον.
Ἑκά.Οἶσθ' οὖν Ἀθάνας Ἰλιὰς ἵνα στέγαι;
Πολ.Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
Ἑκά.Μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
Πολ.Ἔτ' οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
Ἑκά.Σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον θέλω.
Πολ.Ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
Ἑκά.Σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
Πολ.Ποῦ δ'; αἵδ' Ἀχαιῶν ναύλοχοι περιπτυχαί;
Ἑκά.Ἴδια γυναικῶν αἰχμαλωτίδων στέγαι.
Πολ.Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;

Ἑκά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑκά. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ᾽ ὑμεῖς μόναι.
Ἀλλ᾽ ἕρπ᾽ ἐς οἴκους. καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ᾽ ἐκ Τροίας πόδα.
Ὡς πάντα πράξας ὥσπερ δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χορ. Οὔπω δέδωκας, ἀλλ᾽ ἴσως δώσεις δίκην.
Ἀλίμενόν τις ὡς ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπέσῃ φίλας καρδίας,
Ἀμέρσας βίοτον. Τὸ γὰρ ὑπέγγυον
Δίκᾳ καὶ Θεοῖς, οὐ ξυμπίτνει
Ὀλέθριον ὀλέθριον κακόν.
Ψεύσει σ᾽ ὁδοῦ τῆσδ᾽ ἐλπίς, ἥ σ᾽ ἐπήγαγε
Θανάσιμον πρὸς ἀΐδαν. ἰὼ τάλας,
Ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.

## ΙΑΜΒΟΙ.

Πολ. Ὤμοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
Ἡμι. Ἠκούσατ᾽ ἀνδρὸς Θρῃκὸς οἰμωγὴν φίλαι;
Πολ. Ὤμοι μάλ᾽ αὖθις τέκνα δυστήνου σφαγῆς.
Ἡμι. Φίλαι, πέπρακται καίν᾽ ἔσω δόμων κακά.
Πολ. Ἀλλ᾽ οὔτι με φύγητε λαιψηρῷ ποδί.
Βάλλων γὰρ οἴκων τῶνδ᾽ ἀναρρήξω μυχούς.
Ἡμι. Ἰδοὺ βαρείας χειρὸς ὁρμᾶται βέλος.
Βούλεσθ᾽ ἐπεισπέσωμεν, ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι Τρῳάσιν τε συμμάχους;
Ἑκά. Ἄρασσε. φείδου μηδὲν ἐκβάλλων πύλας.
Οὐ γὰρ ποτ᾽ ὄμμα λαμπρὸν ἐνθήσεις κόραις.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.

Ἡμι. Ἦ γὰρ καθεῖλες Θρῆκα, καὶ κρατεῖς ξένε,
Δέσποινα, καὶ δέδρακας οἷά περ λέγεις;

Ἑκά. Ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος,
Τυφλὸν, τυφλῷ στείχοντα παραφόρῳ ποδί.
Παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
Σὺν ταῖς ἀρίσταις Τρῳάσιν. δίκην δέ μοι
Δέδωκε. χωρεῖ δ' ( ὡς ὁρᾷς ) ὅδ' ἐκ δόμων.
Ἀλλ' ἐκποδὼν ἄπειμι, κἀποστήσομαι
Θυμῷ ῥέοντι Θρῃκὶ δυσμαχωτάτῳ.

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Ὤμοι ἐγώ· πᾶ βῶ; πᾶ στῶ; πᾶ κέλσω;
Τετράποδος βάσιν θηρὸς ὀρεστέρου
Τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος, ποίαν
Ἢ ταύταν, ἢ τάνδ' ἐξαλλάξω,
Τὰς ἀνδροφόνους μάρψαι χρήζων
Ἰλιάδας, αἵ με διώλεσαν.
Τάλαιναι, τάλαιναι κόραι Φρυγῶν.
Ἰὼ ἰὼ κατάρατοι, ποῖ καί με φυγᾷ
Πτώσσουσι μυχῶν;
Εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
Ἀκέσαιο, ἀκέσαιο τυφλὸν ἅλιε,
Φέγγος ἀπαλλάξας.
Ἆ, ἆ· σίγα, σίγα· κρυπτὰν βάσιν αἰσθάνομαι
Τᾶνδε γυναικῶν.
Πᾶ πόδ' ἐπαΐξας, σαρκῶν, ὀστέων
Τ' ἐμπλησθῶ, θοίναν ἀγρίων θηρῶν
Τιθέμενος, ἀρνύμενος λώβαν,
Λύμας ἀντίποιν' ἐμᾶς; ἰὼ τάλας

Ποῖ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ποῖ, πᾷ φέρομαι, τέκν' ἔρημα λιπὼν
Βάκχαις ᾅδα διαμοιράσαι,
Σφακτὰν κυσί τε φονίαν
Δαῖτ' ἀνήμερον, ὀρείαν τ' ἐκβολάν;
Πᾷ στῶ; πᾷ κάμψω; πᾷ βῶ;
Ναῦς ὅπως ποντίοις πείσμασι
Λινόκροκον φάρος στέλλων,
Ἐπὶ τάνδ' ἐσσυθεὶς
Τέκνων ἐμῶν φύλαξ
Ὀλέθριον κοίταν;

# Ι Α Μ Β Ο Ι.

Χορ. Ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασαι κακά.
Δράσαντι δ' αἰσχρὰ, δεινὰ τἀπιτίμια
Δαίμων δέδωκεν, ὅστις ἐστί σοι βαρύς.

# ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Πολ. Αἶ, αἶ. ἰὼ Θρῆκες
Λογχόφορον, εὔοπλον,
Εὔιππον Ἀρεϊκάτοχον γένος.
Ἰὼ, Ἀχαιοὶ, ἰὼ Ἀτρεῖδαι.
Βοὰν βοὰν αὐτῶ, βοάν.
Ἴτε, ἴτε, μόλετε πρὸς Θεῶν.
Κλύει τίς; ἢ οὐδεὶς ἀρκέσει, τί μέλλετε;
Γυναῖκες ὤλεσάν με.
Γυναῖκες αἰχμαλώτιδες.
Δεινὰ δεινὰ πεπόνθαμεν.
Ὤμοι ἐμᾶς λώβας.
Ποῖ τράπωμαι; ποῖ πορευθῶ;

Αἶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰθέρ' ἀμπτάμενος οὐράνιον,
Ὑψιπετὲς εἰς μέλαθρον, ὠρίων
Ἢ σείριος ἔνθα πυρὸς φλογέας
Ἀφίησιν ὄσσων αὐγάς;
Ἢ τὸν ἐς ἀΐδα μελανοχρῶτα
Πορθμὸν ἀΐξω τάλας;

## ΙΑΜΒΟΙ.

Χορ. Σύγγνωθ', ὅταν τις κρεῖσσον' ἢ φέρειν κακὰ
Πάθη, ταλαίνης ἐξαπαλλάξαι ζωῆς.
Ἀγα. Κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
Πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἀχὼ διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
Πύργους πεσόντας ἴσμεν Ἑλλήνων δορὶ,
Φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
Πολ. Ὦ φίλτατ' (ᾐσθόμην γὰρ, Ἀγαμέμνων, σέθεν,
Φωνῆς ἀκούσας) εἰσορᾷς ἃ πάσχομεν;
Ἀγα. Ἔα. Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
Τίς ὄμμ' ἔθηκε τυφλὸν αἱμάξας κόρας;
Παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.
Πολ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
Ἀπώλεσ'. οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
Ἀγα. Τί φής; σὺ τοὔργον εἴργασαι τόδε, ὡς λέγει;
Σὺ τόλμαν Ἑκάβη τήνδ' ἔτλης ἀμήχανον;
Πολ. Ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
Σήμηνον. εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν,
Διασπάσωμαι, καὶ καθαιμάξω χρόα.
Ἀγα. Οὗτος, τί πάσχεις;
Πολ. Πρὸς θεῶν σε λίσσομαι,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέθες μ' ἐφεῖται τῇδε μαργῶσαν χέρα,

Ἀγα. Ἴσχ'. ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
Λέγ', ὡς ἀκούσας σοῦ τε, τοῦδέ τ' ἐν μέρει,
Κρίνω δικαίως ἀνθ' ὅτου πάσχεις τάδε.

Πολ. Λέγοιμ' ἄν. Ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
Ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
Τοῦτον κατέκτειν'. ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
Ἄκουσον, ὡς εὖ καὶ σοφῇ προμηθίᾳ.
Ἔδεισα μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ καὶ ξυνοικίσῃ πάλιν.
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα,
Φρυγῶν ἐς αἶαν αὖθις αἴροιεν στόλον.
Κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε,
Λεηλατοῦντες. γείτοσιν δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν ἄναξ ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον,
Δόλῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φράσουσα Πριαμιδῶν ὑπ' Ἰλίῳ
Χρυσοῦ. μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει
Δόμους, ἵν' ἄλλος μήτις εἰδείη τάδε.
Ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ.
Πολλαὶ δὲ χεῖρες, αἱ μὲν, ἐπ' ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ παρὰ φίλῳ Τρώων κόραι
Θάκουν ἔχουσαι κερκίδ' Ἠδωνῆς χερός.
Ἦνουν θ' ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους.
Ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι,
Γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
Ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπλαγούμεναι,
Τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γένοιτο, διαδοχαῖσιν ἀμείβουσαι χεροῖν.
Κᾆτ' ἐκ γαληνῶν ( πῶς δοκεῖς; ) προσφθεγμάτων
Εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν,
Κεντοῦσι παῖδας. αἱ δὲ, πολεμίων δίκην
Ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
Καὶ κῶλα. παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
Εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
Κόμης κατεῖχον. εἰ δὲ κινοίην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
Τὸ λοίσθιον δὲ πῆμα πήματος πλέον,
Ἐξειργάσαντο δεῖν. ἐμῶν γὰρ ὀμμάτων
Πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
Κεντοῦσιν, αἱμάσσουσιν. εἶτ' ἀνὰ στέγας
Φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
Θὴρ ὡς, διώκω τὰς μιαιφόνους κύνας,
Ἅπαντ' ἐρευνῶν τοῖχον ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
Πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
Εἴτις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
Ἢ νῦν λέγων ἔστιν τις, ἢ μέλλει λέγειν,
Ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω.
Γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
Τοιόνδ'. ὁ δ' αἰεὶ ξυντυχὼν, ἐπίσταται.

Χορ. Μηδὲν θρασύνου, μὴ δὲ τοῖς σαυτοῦ κακοῖς
Τὸ θῆλυ συνθεὶς, ὧδε πᾶν μέμψῃ γένος.
Πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν εἰσ' ἐπίφθονοι,
Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

Ἑκά. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον
Ἀλλ' εἴτε χρήστ' ἔδρασε, χρήστ' ἔδει λέγειν,

Εἴτ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθρούς,
Καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
Σοφοὶ μὲν ὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
Ἀλλ' ὐ δύνανται, διὰ τέλους εἶναι σοφοί.
Κακῶς δ' ἀπώλοντο, κοὔτις ἐξήλυξέ πω
Καί μοι τὸ μὲν σὸν ὧδ' ἐν φροιμίοις ἔχει.
Πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι.
Πῶς φῂς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦ
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν;
Ἀλλ' ὦ κάκιστε, πρῶτον οὔποτ' ἂν φίλον
Τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησι γένος,
Οὔτ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
Πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,
Ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
Πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
Ὁ χρυσὸς (εἰ βούλοιο τἀληθῆ λέγειν)
Ἔκτεινε τὸν ἐμὸν παῖδα, καὶ κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο, πῶς ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
Ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,
Τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἀν δόμοις ἔχων,
Ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
Καπνῷ δ' ἐσήμαιν' ἄστυ πολεμίων ὕπο,
Ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν;
Πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇ κακός.
Χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
Τὸν χρυσὸν ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ' ἔχειν,
Δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον

Πε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πολλῶν πατρῴας γῆς ἀπεξενωμένοις.
Σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
Τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος.
Ἐν τοῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ σαφέστατοι
Φίλοι. τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
Εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' ηὐτύχει,
Θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας.
Νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
Χρυσοῦ τ' ὄνησις οἴχεται· παῖδές τε σοὶ,
Αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανῇ.
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἐχρῆν,
Οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον.
Αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν
Τοιοῦτον ὄντα· δεσπότας δ' οὐ λοιδορῶ.

Χορ. Φεῦ, φεῦ, βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

Ἀγα. Ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά.
Ὅμως δ' ἀνάγκη. Καὶ γὰρ αἰσχύνην φέρει
Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
Ἐμοὶ δ' ἵν' εἰδῇς, οὐδ' ἐμὴν δοκεῖς χάριν,
Οὔτ' οὖν Ἀχαιῶν, ἄνδρ' ἀποκτεῖναι ξένον.
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
Λέγεις δὲ σεαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
Τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν.
Ἡμῖν δέ γ' αἰσχρὸν τοῖσιν Ἕλλησι τόδε.
Πῶς οὖν σε κρίνας μὴ ἀδικεῖν, φύγω ψόγον;
Οὐκ ἂν δυναίμην· Ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ
Πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ φίλα.

Πολ. Οἴμοι, γυναικὸς ὡς ἔοιχ' ἡσσώμενος
Δούλης, ὑφέξω τοῖς κακίοσι δίκην.
Ἀγα. Οὐκοῦν δικαίως, εἴπερ εἰργάσω κακά.
Πολ. Οἴμοι τέκνων τῶνδ', ὀμμάτων τ' ἐμῶν τάλας.
Ἑκά. Ἀλγεῖς; τί δαί με παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;
Πολ. Χαίρεις ὑβρίζουσ' εἰς ἔμ' ὦ πανοῦργε σύ;
Ἑκά. Οὐ γάρ με χαίρειν χρή σε τιμωρουμένην;
Πολ. Ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς,
Ἑκά. Μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλλανίδος;
Πολ. Κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ Καρχησίων.
Ἑκά. Πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;
Πολ. Αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσῃ ποδί.
Ἑκά. Ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
Πολ. Κύων γενήσῃ, πύρσ' ἔχουσα δέργματα.
Ἑκά. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
Πολ. Ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
Ἑκά. Σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν ὧν ἔχεις κακῶν;
Πολ. Οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
Ἑκά. Θανοῦσα δ', ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
Πολ. Θανοῦσα· τύμβῳ δ' ὄνομα σὸν κεκλήσεται.
Ἑκά. Μορφῆς ἐπῳδὸν, ἢ τί τῆς ἐμῆς ἐρεῖς;
Πολ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
Ἑκά. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
Πολ. Καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
Ἑκά. Ἀπέπτυσ'. αὐτῷ ταῦτά σοι δίδωμ' ἔχειν.
Πολ. Κτενεῖνιν ἡ τοῦδ' ἄλοχος οἰκουρὸς πικρά.
Ἑκά. Μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
Πολ. Καὐτόν τε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
Ἀγα. Οὗτος, σὺ μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν;
Πολ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
Ἀγα. Οὐχ ἕλξετ' αὐτὸν δμῶες ἐκποδὼν βίᾳ;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

Πολ. Ἀλγεῖς ἀκούων;
Ἀγα. Οὐκ ἐφέξετε στόμα;
Πολ. Ἐγκλείετ'. εἴρηται γάρ.
Ἀγα. Οὐχ ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι;
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ.
Ἑκάβη, σὺ δ' ὦ τάλαινα διπτύχους νεκροὺς
Στείχουσα θάπτε. δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηναῖς πελάζειν Τρῳάδες. καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
Εὖ δ' ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις
Ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Ἴτε πρὸς λιμένας σκηνάς τε φίλαι,
Τῶν δεσποσύνων πειρασόμεναι
Μόχθων. Στερρὰ γὰρ ἀνάγκη.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Η ΥΠΟΘΕΣΙΣ

## ΜΗΔΕΙΑΣ.

ΙἈάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος τοῦ Κορινθίων Βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. Μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ, ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη, διαφθείρεται. καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ' ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ Χορὸς, συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. Ἐδιδάχθη ἐπὶ Πυθιοδώρου Ἄρχοντος, κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην Ὀλυμπιάδα.

ΕΥ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΥΡΙΠΙΔΟΥ
# ΜΗΔΕΙΑ

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ
## ΠΡΟΣΩΠΑ.

ΤΡΟΦΟΣ ΜΗΔΕΙΑΣ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΜΗΔΕΙΑ.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
ΚΡΕΩΝ.
ΙΑΣΩΝ.
ΑΙΓΕΥΣ.
ΑΓΓΕΛΟΣ.
ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ.

Προλογίζει δὲ ἡ Τροφός.

## ΙΑΜΒΟΙ.

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν, κυανέας Συμπληγάδας,
Μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
Τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
Ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ,
Μήδεια, πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
Ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
Πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν,
Σὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
Φυγῇ πολιτῶν, ὧν ἀφίκετο χθόνα,
Αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι.
Ἥπερ μεγίστη γίγνεται σωτηρία,
Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
Προδοὺς γὰρ αὑτοῦ τέκνα, δεσπότιν τ' ἐμὴν,
Γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
Γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη,
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς,
Πίστιν μεγίστην, καὶ Θεοὺς μαρτύρεται,
Οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
Ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
Πρόσωπον. ὡς δὲ πέτρος, ἢ θαλάσσιος
Κλύδων, ἀκούει νουθετουμένη φίλων.
Ἢν μήποτε στρέψασα πάλλευκον δέρην,
Αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον,
Καὶ γαῖαν, οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
Μετ' ἀνδρὸς, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
Ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
Οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν, μή τι βουλεύσῃ νέον.
Βαρεῖα γὰρ φρὴν, οὐδ' ἀνέξεται κακῶς
Πάσχουσ'. ἐγᾦδα τήνδε, δειμαίνω δέ νιν

Μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἢ καὶ τύραννον, τόν τε γήμαντα κτάνῃ,
Κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.
Δεινὴ γάρ. οὔτοι ῥᾳδίως γε συμβαλὼν
Ἔχθραν τις αὐτῇ, καλλίνικον οἴσεται.
Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
Στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
Κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
Παι. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
Τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν,
Ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
Πῶς σου μόνη Μήδεια λείπεσθαι θέλει;
Τρ. Τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
Ὥς θ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
Λέξαι, μολούσῃ δεῦρο, Μηδείας τύχας.
Παι. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
Τρ. Ζηλῶσ' ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
Παι. Ὦ μῶρος, εἰ χρὴ δεσπόταις εἰπεῖν τόδε,
Ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
Τρ. Τί δ' ἔστιν ὦ γεραιέ; μὴ φθόνει φράσαι.
Παι. Οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
Τρ. Μὴ πρὸς γενείου κρύπτε σύνδουλον σέθεν.
Σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.
Παι. Ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
Πεσσοὺς προσελθὼν, ἔνθα δὴ παλαίτεροι
Θάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ.
Ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σῷ μητρὶ μέλλει τῆς δε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε,
Οὐκ οἶδα. βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
Τρ. Καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
Πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
Παι. Παλαιὰ καινῶν λείπεται κηδευμάτων.
Κοὐκ ἔς' ἐκεῖνος τοῖς δε δώμασιν φίλος.
Τρ. Ἀπωλόμεθ' ἄρ', εἰ κακὸν προσοίσομεν.
Νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
Παι. Ἀτὰρ σύγ' (οὐ γὰρ καιρὸς εἰδέναι τάδε
Δέσποιναν) ἡσύχαζε, καὶ σίγα λόγους.
Τρ. Ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
Ὄλοιτο μὲν μή, δεσπότης γὰρ ἔς' ἐμός.
Ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.
Παι. Τίς δ' οὐχὶ θνητῶν ἄρτι γινώσκει τόδε,
Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ;
Οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν.
Τρ. Εἰ τούς δέ γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ,
Ἴτ', εὖ γὰρ ἔςαι, δωμάτων ἔσω, τέκνα.
Σὺ δ' ὡς μάλιςα τούς δ' ἐρημώσας ἔχε,
Καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
Ἤδη γὰρ εἶδον ὄμμά νιν ταυρουμένην,
Τοῖς δ' ὥς τι δρασείουσαν. οὐδὲ παύσεται
Χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
Ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Μήδ. Δύςανος ἐγὼ, μελέα τε πόνων,
Ἰώμοι μοι, πῶς ἂν ὀλοίμαν;
Τρ. Τόδ' ἐκεῖνο, φίλοι παῖδες, μάτηρ

Κι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύσατε θᾶσσον δώματος εἴσω,
Καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς,
Μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσ-
θ' ἄγριον ἦθος, στυγεράν τε φύσιν
Φρενὸς αὐθάδους.
Ἴτε νῦν, χωρεῖθ' ὡς τάχος εἴσω.
Δῆλον δ' ἐξ ἀρχῆς ἐξαιρόμενον
Νέφος οἰμωγῆς, ὡς τάχ' ἀνάψει
Μείζονι θυμῷ. τί ποτ' ἐργάσεται
Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
Ψυχὴ, δηχθεῖσα κακοῖσιν;
Μήδ. Αἶ αἶ. ἔπαθον τλάμων, ἔπαθον μεγάλων
Ἄξι' ὀδυρμῶν. ὦ κατάρατοι
Παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
Σὺν πατρὶ, καὶ πᾶς δόμος ἔρροι.
Τρο. Ἰώ μοί μοι, ἰὼ τλήμον.
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
Μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι
Τέκνα, μήτι πάθηθ' ὡς ὑπεραλγῶ.
Δεινὰ τυράννων λήματα. καίπως
Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
Χαλεπῶς ὀργὰς μεταβάλλουσι.
Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι,
Κρεῖσσον ἐμοιγ' οὖν· εἰ μὴ μεγάλως,
Ὀχυρῶς τ' εἴη καταγηράσκειν.
Τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν,
Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
Λῷστα βροτοῖσι. τὰ δ' ὑπερβάλλον-
τ', οὐδένα καιρὸν δύναται θνητοῖς.
Μείζους δ' ἄτας, ὅταν ὀργισθῇ

Δαί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δαίμων, οἴκοις ἀπέδωκεν.

Χορ. Ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
Τᾶς δυστάνε κολχίδος.
Οὐδέπω ἤπιος. ἀλλ' ὦ γεραιὰ,
Λέξον. ἐπ' ἀμφιπύλε γὰρ ἔσω
Μελάθρε βοὰν ἔκλυον.
Οὐδὲ συνήδομαι, γύναι,
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλα κέκραται.

Τρο. Οὐκ εἰσὶ δόμοι. φροῦδα τάδ' ἤδη.
Ὁ μὲν γὰρ ἔχει δῶμα τυράννων.
Ἡ δ' ἐν θαλάμοις τάκει βιοτὰν
Δέσποινα. φίλων ἐδενὸς ἐδὲν
Παραθαλπομένα φρένα μύθοις.

Μήδ. Αἶ αἶ. διά μου κεφαλᾶς φλὸξ ἐρανία
Βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ. θανάτῳ καταλυσαίμαν,
Βιοτὰν στυγερὰν προλιποῦσα.

Χορ. Ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
Ἰαχὰν, οἵαν ἁ δύστανος μέλπει νύμφα;
Τίς σοί ποτε τᾶς ἀπλήστε
Κοίτας ἔρος, ὦ ματαία;
Σπεύσει θανάτε τελευτάν.
Μηδὲν τόδε λίσσε.
Εἰ δὲ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαράσσε.
Ζεύς σοι τάδε συνδικάσει.
Μὴ λίαν τάκε,
Ὀδυρομένα σὸν εὐνέταν.

Μήδ. Ὦ μεγάλα Θέμι, καὶ πότνι' Ἄρτεμι,

Λεύσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀδ᾽ορᾶσθ᾽ ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδησαμένα τὸν κατάρατον
Πόσιν; ὅν ποτ᾽ ἐγὼ νύμφαν τ᾽ ἐσίδοι.
Μ᾽ αὐτοῖς μελάθροις διακναιομένους.
Οἵ γ᾽ ἐμὲ πρόσθεν τολμῶσ᾽ ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
Τρο. Κλύεθ᾽ οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν, Ζῆνά θ᾽, ὃς ὅρκων
Θνατοῖς ταμίας νενόμισται;
Οὐκ ἔστιν ὅπως ἔν τινι σμικρῷ
Δέσποινα χόλον καταπαύσει.
Χορ. Πῶς ἂν ἐς ὄψιν τὰν ἀμετέραν
Ἔλθοι, μύθων τ᾽ αὐδαθέντων
Δέξαιτ᾽ ὀμφάν,
Εἴ πως βαρύθυμον ὀργὰν,
Καὶ λῆμα φρενῶν μεθείη.
Τρο. Μήτοι τόγ᾽ ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω.
Χορ. Ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων
Ἔξω, φίλα. καὶ τάδ᾽ αὔδα.
Σπεῦσον πρίν τι κακῶσαι τοὺς εἴσω.
Πένθος γὰρ μεγάλως τόδ᾽ ὁρμᾶται.
Τρο. Δράσω τάδ᾽. ἀτὰρ φόβος, εἰ πείσω
Δέσποιναν ἐμάν.
Μόχθου δὲ χάριν τήνδ᾽ ἐπιδώσω.
Καίτοι τοκάδος δέργμα λεαίνης
Ἀποταυροῦται δμωσὶν, ὅταν τις
Μῦθον προφέρων πέλας ὁρμαθῇ.
Σκαιοὺς δὲ λέγων, κοὐδέν τι σοφοὺς
Τοὺς πρόσθε βροτοὺς, οὐκ ἂν ἁμάρτοις.

Οἵ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις,
Ἐπί τ' εἰλαπίναις, καὶ παρὰ δείπνοις
Εὕροντο, βίου τερπνὰς ἀκοάς.
Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
Εὕρετο, μούσῃ καὶ πολυχόρδοις
Ὠιδαῖς παύειν, ἐξ ὧν θάνατοι,
Δειναί τε τύχαι σφάλλουσι δόμους.
Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
Μολπαῖσι βροτούς. ἵνα δ' εὔδειπνοι
Δαῖτες, τί μάτην τείνουσι βοήν;
Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ,
Δαιτὸς πλήρωμα βροτοῖσιν.

Χορ. Ἰαχὰν ἄϊον πολύστονον γόων.
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ,
Τὸν ἐν λέχει προδόταν, κακόνυμφον.
Θεοκλυτεῖ δ' ἄδικα παθοῦσα,
Τὰν Ζηνὸς ὁρκίαν θέμιν,
Ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
Δι' ἅλα νύχιον,
Ἐφ' ἁλμυρὰν πόντου
Κλῇδ' ἀπέραντον.

## ΙΑΜΒΟΙ.

Μήδ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων.
Μή μοί τι μέμψησθ'. οἶδα γὰρ πολλοὺς βροτῶν
Σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
Τοὺς δ' ἐν θυραίοις. οἱ δ' ἀφ' ἡσύχου ποδὸς
Δύσκλειαν ἐκτήσαντο, καὶ ῥᾳθυμίαν.
Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.
Ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς

Στυ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
Οὐδ' ἀστὸν ᾔνεσ', ὅς τις αὐθάδης γεγὼς,
Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
Ψυχὴν διέφθαρκ'. οἴχομαι δὲ, καὶ βίου
Χάριν μεθεῖσα, κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
Πάντων δ' ὅσ' ἐστ' ἔμψυχα, καὶ γνώμην ἔχει,
Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
Πόσιν πρίασθαι, δεσπότην τε σώματος
Λαβεῖν. κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν.
Κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
Ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
Γυναιξὶν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην,
Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν
Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγὸν,
Ζηλωτὸς αἰών. εἰ δὲ μὴ, θανεῖν χρεών.
Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
Ἔξω μολὼν ἔπαυσε καρδίας χόλον,
Ἢ πρὸς φίλων τιν', ἢ πρὸς ἥλικα τραπείς.
Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
Λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί.
Κακῶς φρονοῦντες. Ὡς τρὶς ἂν παρ' ἀσπίδα
Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ᾽ οὐ γὰρ αὐτὸς πρὸς σὲ κἄμ᾽ ἥκει λόγος.
Σοὶ μὲν πόλις θ᾽ ἥδ᾽ ἐστὶ καὶ πατρὸς δόμοι.
Βίου τ᾽ ὄνησις καὶ φίλων συνουσία.
Ἐγὼ δ᾽ ἔρημος, ἄπολις οὖσ᾽, ὑβρίζομαι
Πρὸς ἀνδρὸς ἐκ γῆς βαρβάρου λελησμένη,
Οὐ μητέρ᾽, οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ
Μεθορμίσασθαι τῆσδ᾽ ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
Ἤν μοι πόρος τις μηχανή τ᾽ ἐξευρεθῇ,
Πόσιν δίκην τῶνδ᾽ ἀντιτίσασθαι κακῶν,
Τὸν δόντα τ᾽ αὐτῷ θυγατέρ᾽, ἥν τ᾽ ἐγήματο,
Σιγᾶν. Γυνὴ γὰρ, τἄλλα μὲν φόβου πλέα,
Κακή δ᾽ ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν.
Ὅταν δ᾽ ἐς εὐνὴν ἠδικημένη κυρῇ,
Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

Χορ. Δράσω τάδ᾽. ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν
Μήδεια. πενθεῖν δ᾽ οὔ σε θαυμάζω τύχας.
Ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ᾽ ἄνακτα γῆς
Στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

Κρ. Σὲ τὴν σκυθρωπὸν, καὶ πόσει θυμουμένην
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
Καὶ μή τι μέλλειν, ὡς ἐγὼ βραβεὺς λόγου
Τοῦδ᾽ εἰμί· κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

Μήδ. Αἶ, αἶ, πανώλης ἡ τάλαιν᾽ ἀπόλλυμαι.
Ἐχθροὶ γὰρ ἐξίασι πάντα δὴ κάλων,
Κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ᾽ ὅμως,
Τίνος μ᾽ ἕκατι γῆς ἀποστέλλεις, Κρέον;

Κρ. Δέδοικά σ᾽ (οὐδὲν δεῖ περιαμπίσχειν λόγους)



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μή μοι τι δράσης παῖδ' ἀνήκεστον κακόν.
Ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος.
Σοφὴ πέφυκας, καὶ κακῶν πολλῶν ἴδρις.
Λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ' ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι.
Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
Δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν, φυλάξομαι.
Κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπέχθεσθαι γύναι,
Ἢ μαλθακισθένθ', ὕστερον μέγα στένειν.
Μηδ. Φεῦ, φεῦ,
Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
Ἔβλαψε δόξα, μεγάλα τ' εἴργασται κακά.
Χρὴ δ' οὔποθ', ὅς τις ἀρτίφρων πέφυκ' ἀνήρ,
Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.
Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν ἀργίας,
Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
Δόξεις ἀχρεῖος, κοὐ σοφὸς πεφυκέναι.
Τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον,
Κρείσσων νομισθεὶς, ἐν πόλει λυπρὸς φανῇ.
Ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἰμ' ἐπίφθονος,
Τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,
Τοῖς δ' οὖν προσάντης. εἰμὶ δ' οὐκ ἄγαν σοφή.
Σὺ δ' οὖν φοβῇ με, μή τι πλημμελὲς πάθῃς.
Οὐχ' ὧδ' ἔχει μοι. μὴ τρέσῃς ἡμᾶς, Κρέον,
Ὥς τ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην
Ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν.
Μισῶ. σὺ δ' ( οἶμαι ) σωφρονῶν ἔδρας τάδε.
Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.

Νυμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νυμφεύετ᾽, εὖ πράσσοιτε. τὴν δὲ δὴ χθόνα
Ἐᾶτέ μ᾽ οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
Κρ. Λέγεις ἀκοῦσαι μαλθάκ᾽. ἀλλ᾽ ἔσω φρενῶν
Ὀῤῥωδία μοι, μή τι βουλεύσῃς κακόν.
Τοσῷδε γ᾽ ἧσσον ἢ πάρος πέποιθά σοι.
Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ᾽ αὔτως ἀνήρ,
Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ᾽ ἔξιθ᾽ ὡς τάχιστα, μὴ λόγους λέγε.
Ὡς ταῦτ᾽ ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
Μενεῖς παρ᾽ ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.
Μήδ. Μὴ, πρὸς γονάτων, τῆς τε νεογάμου κόρης.
Κρ. Λόγους ἀναλοῖς. οὐ γὰρ ἂν πείσαις ποτέ.
Μήδ. Ἀλλ᾽ ἐξελᾷς με, κοὐδὲν αἰδέσῃ λιτάς;
Κρ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
Μήδ. Ὦ πατρὶς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
Κρ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πολύ.
Μήδ. Φεῦ, φεῦ. βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρ. Ὅπως ἂν (οἶμαι) καὶ παραστῶσιν τύχαι.
Μήδ. Ζεῦ, μὴ λάθοι σε τῶνδ᾽ ὃς αἴτιος κακῶν.
Κρ. Ἕρπ᾽ ὦ ματαία, καί μ᾽ ἀπάλλαξον πόνων.
Μήδ. Πονοῦμεν ἡμεῖς, κοὐ πόνων κεχρήμεθα.
Κρ. Τάχ᾽ ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
Μήδ. Μὴ δῆτα τοῦτό γ᾽. ἀλλά σ᾽ αἰτοῦμαι, Κρέον.
Κρ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
Μήδ. Φευξούμεθ᾽. οὐ τοῦθ᾽ ἱκέτευσά σου τυχεῖν.
Κρ. Τί δ᾽ οὖν βιάζῃ, κοὐκ ἀπαλλάσσῃ χθονός;
Μήδ. Μίαν με μεῖναι τήνδ᾽ ἔασον ἡμέραν.
Καὶ ξυμπερᾶναι φροντίδ᾽, ᾗ φευξούμεθα,
Παισίν τ᾽ ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν προτιμᾷ, μηχανήσασθαι τέκνοις.

Ο

Οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας. εἰκός δ' ἐστὶν εὔνοιαν σ' ἔχειν.
Τοὐμοῦ γὰρ οὔ μοι φροντὶς εἰ φευξούμεθα,
Κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.

Κρ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν.
Αἰδούμενος δὲ, πολλὰ δὴ διέφθορα.
Καὶ νῦν ὁρῶν μὲν ἐξαμαρτάνων, γύναι,
Ὅμως δὲ τεύξη τοῦδε· προὐννέπω δέ σοι,
Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται Θεοῦ,
Καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονὸς,
Θανῇ· λέλεκται μῦθος οὐ ψευδὴς ὅδε.
Νῦν δ' εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβος μ' ἔχει.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Δύστανε γύναι,
Φεῦ, φεῦ· μελέα τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ. τίνα προξενίαν.
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἄπορόν σε κλύδωνα Θεὸς,
Μήδεια, κακῶν ἐπόρευσε.

## ΙΑΜΒΟΙ.

Μήδ. Κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δὴ δοκεῖτέ πω.
Ἔτ' εἰσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
Καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἄν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ μή τι κερδαίνουσαν, ἢ τεχνωμένην;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν.
Ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥς τ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
Γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
Μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε, καὶ κόρην, πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
Οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι.
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τι μοι πρόσαντες. εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
Σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς κτανεῖν.
Εἶεν· καὶ δὴ τεθνᾶσι. τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν, ῥύσεται τοὐμὸν δέμας;
Οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον.
Ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε. τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων, καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα. φείδου μηδὲν ὧν ἐπίστασαι
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη.
Ἕρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις, οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ' Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς, ἡλίου τ' ἄπο.
Ἐπίστασαι δέ. Πρὸς δὲ, καὶ πεφύκαμεν
Γυναῖκες, εἰς μὲν ἔσθλ' ἀμηχανώταται.
Κακῶν δὲ πάντων τέκτονες σοφώταται.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Ἄνω ποταμῶν ἱερῶν
Χωροῦσι παγαὶ,
Καὶ δίκα, καὶ πάντα πάλιν στρέφεται.
Ἀνδράσι μὲν δόλιαι βουλαί. Θεῶν
Δ' οὐκέτι πίστις ἄραρε.
Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν
Στρέφουσι φᾶμαι.
Ἔρχεται τιμὰ
Γυναικείῳ γένει.
Οὐκέτι δυσκέλαδος
Φάμα Γυναῖκας ἕξει.

### Ἀντιστροφὴ Α'.

Μοῦσαι δὲ παλαιγενέων
Λήξουσιν ἀοιδᾶν,
Τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος ἁγήτωρ μελέων. ἐπεὶ ἀν-
τάχησ' ἂν ὕμνον
Ἀρσένων γέννᾳ.
Μακρὸς δ' αἰὼν ἔχει
Πολλὰ μὲν ἁμετέραν
Ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Στροφὴ Β'.

Σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
Μαινομένᾳ κραδίᾳ, διδύ-
μους ὁρίσασα πόντου
Πέτρας. ἐπὶ δὲ ξένᾳ
Ναίεις χθονί, τᾶς ἀνάνδρου
Κοίτας ὀλέσασα λέκτρον,
Τάλαινα. φυγὰς δὲ χώρας ἄτιμος ἐλαύνῃ.

Ἀντιστροφὴ Β'.

Βέβακεν ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς
Ἑλλάδι τᾷ μεγάλᾳ μίμνει,
Αἰθερία δ' ἀνέπτα.
Σοὶ δ' οὔτε πατρὸς δόμοι
Δύστανε, μεθορμίσασθαι
Μόχθων πάρα· τῶν δὲ λέκτρων,
Ἄλλα βασίλεια κρείσσων δόμοισιν ἐπέστα.

# ΙΑΜΒΟΙ.

Ἰάσ. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
Τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
Λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
Λέγουσ', Ἰάσων ὡς κάκιστος ἔστ' ἀνήρ.
Ἃδ' εἰς τυράννους ἐστί σοι λελεγμένα,
Πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
Κἀγὼ μὲν ἀεὶ Βασιλέων θυμουμένων
Ὀργὰς ἀφῄρουν, καὶ σ' ἐβουλόμην μένειν.
Σὺ δ' οὐκ ἀνίεις μωρίας, λέγουσ' ἀεὶ
Κακῶς τυράννους. τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
Ἥκω, τὸ σόν γε προσκοπούμενος, γύναι,
Ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς,
Μήτ' ἐνδεής του. Πόλλ' ἐφέλκεται φυγὴ
Κακὰ ξὺν αὐτῇ. καὶ γὰρ εἰ σύ με στυγεῖς,
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.
Μηδ. Ὦ παγκάκιστε (τοῦτο γάρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακὸν)
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε, κἀμοί, παντί τ' ἀνθρώπων γένει;
Οὔτοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν.
Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
Πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.
Ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
Ψυχὴν κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων.
Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
Ταυτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
Ζεύγλησι, καὶ σπεροῦντα θανάσιμον γύην.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις ἄϋπνος ὤν,
Κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ πατέρα κ) δόμους προδοῦσ' ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην,
Σὺν σοὶ πρόθυμος μᾶλλον, ἢ σοφωτέρα.
Πελίαν δ' ἀπέκτειν', ὥσπερ ἄλγισον θανεῖν.
Παίδων ὑπ' αὐτοῦ, πάντα τ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν ὦ κάκις' ἀνδρῶν παθὼν,
Προὔδωκας ἡμᾶς· καινὰ δ' ἐκτήσω λέχη,
Παίδων γεγώτων. εἰ γὰρ ἦσθ' ἄπαις ἔτι.
Συγγνωσ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους·
Ὅρκων δὲ φρούδη πίσις· οὐδ' ἔχω μαθεῖν,
Ἢ Θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
Ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τανῦν.
Ἐπεὶ συνοισθάγ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων· ὡς μάτην κεχρώσμεθα
Κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
Ἄγ'. ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι.
Δοκοῦσα μὲν τί πρόςγε σοῦ πράξειν καλῶς,
Ὅμως δ', (ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ)
Νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
Οὓς σοι προδοῦσα κ) πάτραν, ἀφικόμην,
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
Ἔχει γὰρ οὕτω. τοῖς μὲν οἴκοθεν φίλοις
Ἐχθρὰ καθέστηχ'. οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾷν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
Ἔθηκας ἀντὶ τῶνδε. θαυμασὸν δέ σε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγώ.
Εἰ φεύξομαι δὲ γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος σὺν τέκνοις μόνη μόνοις,
Καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ,
Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Χορ. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ιάσ. Δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν.
Ἀλλ' ὥς τε ναὸς κεδνὸν οἰακοστρόφον.
Ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν,
Τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
Ἔγωγ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
Λόγος διελθεῖν, ὡς ἔρως σ' ἠνάγκασε
Πόνων ἀφύκτων τοὐμὸν ἐκσῶσαι δέμας.
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὰ θήσομαι λίαν.
Ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι,
Νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν.
Πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφήν.
Καὶ δόξαν ἔσχες. εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
Ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι,
Τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
Ἔλεξ'. ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
Καὶ παισὶ τοῖς ἐμοῖσιν. ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
Τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον,
Ἢ παῖδα γῆμαι Βασιλέως γεγώς;
Οὐχ, ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος,
Καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
Οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
(Ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι)
Ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς,
Καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
Παῖδάς τε θρέψαιμ' ἀξίως δόμων ἐμῶν.
Σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Εἰς ταυτὸ θείην, καὶ ξυναρτήσας γένος,
Εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ;
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις,
Τὰ ζῶντ' ὀνῆσαι· μῶν βεβούλευμαι κακῶς;
Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
Ἀλλ' εἰς τοσοῦτον ἥκεθ', ὥς τ' ὀρθουμένης
Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε·
Ἢν δ' αὖ γένηται ξυμφοράτις εἰς λέχος,
Τὰ λῷστα καὶ κάλλιστα, πολεμιώτατα


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος.
Οὕτω δ' ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.

Χορ. Ἴασον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους.
Ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην λέγω,
Δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

Μήδ. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
Ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν, σοφὸς λέγειν
Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει,
Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
Τολμᾷ πανουργεῖν. ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ,
Λέγειν τε δεινός· ἓν γὰρ οὖν κτενεῖ σ' ἔπος.
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.

Ἰάσ. Καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.

Μήδ. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.

Ἰάσ. Εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα Βασιλέως ἃ νῦν ἔχω.
Ἀλλ' ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
Σέ, καὶ τέκνοις τοῖς ἐμοῖς ὁμοσπόρους
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.

Μήδ. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

Ἰάσ. Οἶσθ' ὡς μετεύξῃ, καὶ σοφωτέρα φανῇ;
Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ,
Μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.

Μήδ. Ὕβριζ'. ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή,

Ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἐγὼ δ' ἔρημος, τήνδε φεύξομαι χθόνα.
Ἰάσ. Αὐτὴ τάδ' εἵλου, μηδέν' ἄλλον αἰτιῶ.
Μήδ. Τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;
Ἰάσ. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
Μήδ. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
Ἰάσ. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ' εἴ τι βούλει παισὶν, ἢ σαυτῆς φυγῇ
Προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'. ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ.
Καὶ ταῦτα μὴ θέλουσα, μωρανεῖς γύναι,
Λήξασα δ' ὀργῆς, κερδανεῖς ἀμείνονα.
Μήδ. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν.
Οὔτ' ἄν τι δεξαίμεθα· μηδ' ἡμῖν δίδου.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Ἰάσ. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
Ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω.
Σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
Φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
Μήδ. Χώρει. πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
Αἱρῇ, χρονίζων δωμάτων ἐξώπιος.
Νύμφευ'. ἴσως γὰρ ( σὺν θεῷ δ' εἰρήσεται )
Γαμεῖς τοιοῦτον, ὥς τε σ' ἀρνεῖσθαι, γάμον.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Ἔρωτες ὑπὲρ μὲν ἄγαν
Ἐλθόντες, οὐκ εὐδοξίαν,
Οὐδ' ἀρετὰν παρέδωκαν
Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι

Κύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύπρις, ὐκ ἄλλα Θεὸς
Εὔχαρις ὧτω.
Μή ποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
Χρυσέων τόξων ἐφείης
Ἱμέρῳ χρίσασ' ἄφυκτον οἰςόν.

Ἀντιςροφὴ Α'.

Στέργοι δέ με σωφροσύνα,
Δώρημα κάλλιςον Θεῶν.
Μηδέποτ' ἀμφιλόγυς ὀρ-
γὰς, ἀκόρεςά τε νείκη,
Θυμὸν ἐκπλήξασ' ἑτέ-
ροις ἐπὶ λέκτροις
Προσβάλοιμ'· ὦ δεινὰ Κύπρις,
Ἀπολέμυς δ' εὐνὰς σεβίζυ-
σ' ὀξύφρων κρίνοι λέχη γυναικῶν.

Στροφὴ Β'.

Ὦ πατρὶς, ὦ δῶμά τ' ἐμὸν,
Μὴ δῆτ' ἄπολις γενοίμαν,
Τὸν ἀμηχανίας ἔχυσα
Δυσπέρατον αἰῶ-
ν' οἰκτροτάτων ἀχέων.
Θανάτῳ θανάτῳ πάρος δαμείην,
Ἁμέραν τάνδ' ἐξανύσασα. Μόχθων
δ' ὐκ ἄλλος ὕπερθεν,
Ἢ γᾶς πατρίδας σέρεσθαι.

Ἀντιςροφὴ Β'.

Εἴδομεν, ὐκ ἐξ ἑτέρων
Μύθων ἔχομεν φράσασθαι.

Σὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
ᾤκτειρε, παθοῦσαν
Δεινότατον παθέων.
Ἀχάριστος ὄλοιθ᾽, ὅτῳ πάρεστι
Μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοίξαν-
τι κλῆδα φρενῶν.
Κἀμοὶ φίλος οὔποτ᾽ ἔσται.

## ΙΑΜΒΟΙ.

Αἰγ. Μήδεια χαῖρε. τοῦδε γὰρ προοίμιον
Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλοις.
Μήδ. Ὦ χαῖρε καὶ σὺ παῖ σοφοῦ Πανδίονος
Αἰγεῦ, πόθεν γῆς τῆσδ᾽ ἐπιστροφᾷ πέδον;
Αἰγ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
Μήδ. Τί δ᾽ ὀμφαλὸν γῆς Θεσπιῳδὸν ἱκάνεις;
Αἰγ. Παίδων ἐρευνῶν σπέρμ᾽ ὅπως γένοιτό μοι.
Μήδ. Πρὸς Θεῶν, ἄπαις γὰρ δεῦρ᾽ ἀεὶ τείνεις βίον;
Αἰγ. Ἄπαιδές ἐσμεν δαίμονός τινος τύχῃ.
Μήδ. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
Αἰγ. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
Μήδ. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
Αἰγ. Σοφώτερ᾽, ἢ κατ᾽ ἄνδρα συμβαλεῖν ἔπη.
Μήδ. Θέμις δ᾽ αὖ ἡμᾶς χρησμὸν εἰδέναι Θεοῦ;
Αἰγ. Μάλιστ᾽, ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
Μήδ. Τί δῆτ᾽ ἔχρησε, λέξον, εἰ θέμις κλύειν.
Αἰγ. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.
Μήδ. Πρὶν ἂν τί δράσῃς, ἢ τίν᾽ ἐξίκῃ χθόνα;
Αἰγ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
Μήδ. Σὺ δ᾽ ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
Αἰγ. Πιτθεύς τις ἐστὶ γῆς ἄναξ Τροιζηνίας.
Μήδ. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.

Αἰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰγ. Τούτῳ Θεοῦ μάντευμα κοινῶσαι θέλω.
Μήδ. Σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε.
Αἰγ. Κἀμοὶ δὲ πάντων φίλτατος δορυξένων.
Μήδ. Ἀλλ᾽ εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
Αἰγ. Τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ᾽ ὅδε.
Μήδ. Αἰγεῦ, κάκιστος ἐστί μοι πάντων πόσις.
Αἰγ. Τί φῄς, σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μήδ. Ἀδικεῖ μ᾽ Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
Αἰγ. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μήδ. Γυναῖκ᾽ ἐφ᾽ ἡμῖν δεσπότιν δόμων ἔχει.
Αἰγ. Ἤπου τετόλμηκ᾽ ἔργον αἴσχιστον τόδε;
Μήδ. Σάφ᾽ ἴσθ᾽· ἄτιμοι δ᾽ ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
Αἰγ. Πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
Μήδ. Μέγαν γ᾽ ἔρωτα. πιστὸς οὐκ ἔφυ φίλοις.
Αἰγ. Ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶ κακός.
Μήδ. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
Αἰγ. Δίδωσι δ᾽ αὐτῷ τίς; πέραινέ μοι λόγον.
Μήδ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αἰγ. Συγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι, γύναι.
Μήδ. Ὄλωλα· καὶ πρός γ᾽ ἐξελαύνομαι χθονός.
Αἰγ. Πρὸς τοῦ; τί δ᾽ ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μήδ. Κρέων μ᾽ ἐλαύνει φυγάδα τῆσδ᾽ ἔξω χθονός.
Αἰγ. Ἐᾷ δ᾽ Ἰάσων; οὐδὲ ταῦτ᾽ ἐπῄνεσα.
Μήδ. Λόγῳ μὲν οὐχί· καρτερεῖν δὲ βούλεται.
Ἀλλ᾽ ἀντομαί σε τῆσδε πρὸς γενειάδος,
Γονάτων τε τῶν σῶν· ἱκεσία δὴ γίγνομαι.
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ᾽ ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοι πρὸς Θεῶν τελεσφόρος
Γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.

Εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὕρημα δ' οὐκ οἶσθ' οἷον εὕρηκας τόδε.
Παύσω δέ σ' ὄντα ἄπαιδα, καὶ παίδων γονὰς
Σπεῖραί σε θήσω. τοιάδ' οἶδα φάρμακα.
Αἰγ. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν
Γύναι πρόθυμός εἰμι. πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων, ὧν ἐπαγγέλλῃ γονάς.
Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχοιμι. σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σου προξενεῖν, δίκαιος ὤν.
Τόσον γε μέντοι σοὶ προσημαίνω, γύναι,
Ἐκ τῆς δὲ μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι.
Αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ ποτε.
Ἐκ τῆς δὲ δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα.
Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
Μήδ. Ἔσται τάδ'. ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
Αἰγ. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
Μήδ. Πέποιθα. Πελίου δ' ἐχθρός ἐστί μοι δόμος,
Κρέων τε. τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,
Ἄγουσιν οὐ μεθῆς ἂν ἐκ γαίης ἐμέ.
Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἀνώμοτος
Φίλος γένοι' ἂν, κἀπικηρυκεύμασιν
Οὐκ ἀντιπίθοιο. τἀμὰ μὲν γὰρ ἀσθενῆ.
Τοῖς δ' ὄλβος ἐστὶ, καὶ δόμος τυραννικός.
Αἰγ. Πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν.
Ἀλλ' εἰ δοκεῖ σοι δρᾷν τάδ', οὐκ ἀφίσταμαι.
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστερα,
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
Τὸ σόν τ' ἄραρε μᾶλλον. ἐξηγοῦ θεούς.
Μήδ. Ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρὸς

Τ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Τὸ μὸν, Θεῶν σε συντιθεὶς ἅπαν γένος.

Αἰγ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν λέγε.

Μήδ. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
Μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρήζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.

Αἰγ. Ὄμνυμι γαῖαν, λαμπρόν ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμενεῖν ἅσου κλύω.

Μήδ. Ἀρκεῖ. τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;

Αἰγ. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.

Μήδ. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ὧν βούλομαι.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Ἀλλά σ' ὁ Μαίας πομπαῖος, ἄναξ
Πελάσειε δόμοις,
Ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων
Πράξειας· ἐπεὶ γενναῖος ἀνὴρ
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

## ΙΑΜΒΟΙ.

Μήδ. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἡλίου τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν.
Νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
Οὗτος γὰρ ὡ 'νὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων.
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.

Ἤδη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ᾽ ἐμῶν τιν᾽ οἰκετῶν, Ἰάσονα
Εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι,
Μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους.
Ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχειν
Γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει,
Καὶ ξύμφορ᾽ εἶναι καὶ καλῶς εἰργασμένα.
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι.
Οὐχ᾽ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονὸς
Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
Ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν,
Νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,
Λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον.
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς θ᾽ ὃς ἂν θίγῃ κόρης.
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνταῦθα μέντοι τόνδ᾽ ἀπαλλάσσω λόγον.
Ὤμωξα δ᾽ οἷον ἔργον ἔστ᾽ ἐργαστέον
Τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
Τἄμ᾽. οὔτις ἐστὶν ὅστις ἐξαιρήσεται·
Δόμον τε πάντα συγχέασ᾽ Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ᾽ ἔργον ἀνοσιώτατον.
Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω. τί μοι ζῆν κέρδος; οὔτ᾽ ἐμοὶ πατρίς,
Οὔτ᾽ οἶκος ἐστὶν, οὔτ᾽ ἀποστροφὴ κακῶν.
Ἡμάρτανον τόθ᾽, ἡνίκ᾽ ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
Πεισθεῖσ᾽, ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
Ζῶντας τολοιπὸν. οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ'. ἐπεὶ κακῶς κακὴν
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ.
Τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

Χορ. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
Σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.

Μήδ. Οὐκ ἔστιν ἄλλως. σοὶ δὲ συγγνώμη λέγειν
Τάδ' ἐστὶ, μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς.

Χορ. Ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις γύναι;

Μήδ. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

Χορ. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

Μήδ. Ἴτω. περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
Ἀλλ' εἶα, χώρει, καὶ κόμιζ' Ἰάσονα.
Εἰς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ' ἔφυς.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Ἐρεχθεῖδαι τοπαλαιὸν ὄλβιοι,
Καὶ Θεῶν παῖδες μακάρων,
Ἱερᾶς χώρας ἀπορθήτου
τ' ἀποφερβόμενοι
Κλεινοτάταν σοφίαν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰεὶ διὰ λαμπροτάτου
Βαίνοντες ἁβρῶς αἰθέρος.
Ἔνθά ποθ᾽ ἁγνὰς
Ἐννέα Πιερίδας
Λέγουσι μούσας
Ξανθὰν Ἁρμονίαν φυτεῦσαι.

Ἀντιστροφὴ Α΄.

Καλλινάου τ᾽ ἐπὶ Κηφισοῦ ῥοαῖς
Τὰν Κύπριν κληΐζουσιν ἀφυ-
σσαμέναν χώραν καταπνεῦσαι
Μετρίας ἀνέμων
Ἡδυπνόους αὔρας.
Αἰεὶ δ᾽ ἐπιβαλλομέναν
Χαίταισιν εὐώδη ῥοδέ-
ων πλόκον ἀνθέων,
Τᾷ σοφίᾳ παρέδρους
Πέμπειν ἔρωτας,
Παντοίας ἀρετᾶς ξυνεργούς.

Στροφὴ Β΄.

Πῶς οὖν ἱερῶν ποταμῶν,
Ἢ πόλις, ἢ φίλων
Πόμπιμόν σε χώρα
Τὰν παιδολέτειραν ἕξει,
Τὰν οὐχ ὁσίαν; μετ᾽ ἄλλων
Σκέψαι τεκέων πλαγάν.
Σκέψαι φόνον, οἷον αἴρῃ.
Μὴ (πρὸς γονάτων σε πάντες
Πάντως ἱκετεύομεν)
Μὴ τέκνα φονεύσῃς.

Ἀντι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

### Ἀντιστροφὴ Β΄.

Πῶς δὲ θράσος ἢ φρενὸς ἢ
χειρὶ τέκνων σέθεν
καρδίᾳ τε λήψῃ
Δεινὰν προσάγουσα τόλμαν;
Πῶς δ' ὄμματα προσβαλοῦσα
Τέκνοις, ἄδακρυν μοῖραν
Σχήσεις; φόνον οὐ δυνήσῃ
Παίδων ἱκεταῖν πιτνόντων
Τέγξαι χέρα φοίνιον
Ἐν τλάμονι θυμῷ.

## ΙΑΜΒΟΙ.

Ἰάσ. Ἥκω κελευσθείς. καὶ γὰρ οὖσα δυσμενὴς,
Οὐκ ἂν γ' ἁμάρτοις τοῦδέ γ'. ἀλλ' ἀκούσομαι.
Τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι;
Μήδ. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα,
Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Κἀλοιδόρησα. σχετλία, τί μαίνομαι,
Καὶ δυσμεναίνω τοῖσι βουλεύσασιν εὖ,
Ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι,
Πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φλέγοντας ἡμᾶς, καὶ σπανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ', ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη.
Νῦν οὖν ἐπαινῶ. σωφρονεῖν τ' ἐμοὶ δοκεῖς,
Κῆδος τόδ' ἡμῖν προσλαβών. ἐγὼ δ' ἄφρων,
Ἣ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
Καὶ ξυμπεραίνειν, καὶ παρεστάναι λέχει,
Νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν,
Γυναῖκες. οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα τέκνα δεῦτε, λείπετε στέγας·
Ἐξέλθετ', ἀσπάσασθε, καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα.
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν,
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ' ὦ τέκν' οὕτω καὶ πολὺν ζῶντες χρόνον,
Φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγὼ,
Ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
Ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
Χορ. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ,
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν κακόν.
Ἰάσ. Αἰνῶ γύναι τάδ', οὐδ' ἐκεῖνα μέμφομαι.
Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
Γάμους παρεμπολῶν τί γ' ἀλλοίους πόσει.
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκε κέαρ.

Ἔγν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
Βουλήν. γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δὲ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
Πολλὴν ἔθηκε σὺν Θεοῖς σωτηρίαν.
Οἶμαι γὰρ ὑμᾶς τῆς δε γῆς Κορινθίας
Τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
Ἀλλ' αὐξάνεσθε. τἄλλα δ' ἐξεργάζεται
Πατήρ τε καὶ Θεῶν ὅστις ἐστὶν εὐμενής.
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
Αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
Στρέψασα λευκὴν ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
Μήδ. Οὐδὲν, τέκνων τῶνδ' ἐννοουμένη πέρι.
Ἰάσ. Θάρσει νῦν. εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
Μήδ. Δράσω τάδ', οὔτι σοῖς ἀπιστήσω λόγοις.
Γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.
Ἰάσ. Τί δῆτα λίαν τοῖς δ' ἐπιστένεις τέκνοις;
Μήδ. Ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχουν τέκνα,
Ἐσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστέλλειν δοκεῖ,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
Μήτ' ἐμποδὼν σοι μήτε κοιράνοις χθονὸς
Ναίειν. δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις.
Ἡμεῖς μὲν ἐκ γῆς τῆς δ' ἀπαίρομεν φυγῇ,
Παῖδες δ' ὅπως ἂν ἐκτραφῶσιν σῇ χερὶ,
Αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
Ἰάσ. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή.
Μήδ. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς

Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ἰάσ. Μάλιστα· καὶ πείσειν γε δοξάζω σφ' ἐγώ,
Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
Μήδ. Συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου.
Πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, ( οἶδ' ἐγὼ ) πολύ,
Λεπτόν τε πέπλον, καὶ στέφος χρυσήλατον
Παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἓν, ἀλλὰ μυρία.
Ἀνδρός γ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
Κεκτημένη τε κόσμον· ὅν ποθ' Ἥλιος
Πατὴρ Πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυραννίῳ μακαρίᾳ νύμφῃ δότε
Φέροντες· οὔτι δῶρα μεμπτὰ δέξεται.
Ἰάσ. Τί δ' ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δὲ χρυσοῦ; σῶζε, μὴ δίδου τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
Μήδ. Μή μοι σύ. πείθειν δῶρα καὶ θεοὺς λόγος.
Χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός.
Νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
Ἀλλ' ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους,
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμὴν
Ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες. τοῦδε γὰρ μάλιστα δεῖ,
Εἰς χεῖρ' ἐκείνης δῶρα δέξασθαι τάδε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἴθ᾽ ὡς τάχιςα· μητρὶ δ᾽ ὧν ἐρᾷ τυχεῖν
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α΄.

Χορ. Νῦν ἐλπίδες ὐκέτι μοι παίδων ζωᾶς,
Οὐκέτι· ςείχυσι γὰρ εἰς φόνον ἤδη.
Δέξεται νύμφα χρυσέων ἀναδέσμων,
Δέξεται δύςανος, ἄταν.
Ξανθᾷ δ᾽ ἀμφὶ κόμᾳ
Θήσει τὸν αἴδα κόσμον,
Αὐτὰ ταῖν χεροῖν λαβῦσα.

### Ἀντιςροφὴ Α΄.

Πείσει χάρις, ἀμβρόσιός τ᾽ αὐγὰ πέπλυ,
Χρυσεότευκτον ςέφανον περιθέσθαι,
Νερτέροις δ᾽ ἤδη πάρα νυμφοκομήσει.
Τοῖον εἰς ἕρκος πεσεῖται,
Καὶ μοῖραν θανάτυ
Προσλήψεται δύςανος,
Ἄταν δ᾽ ὐκ ὑπεκφεύξεται.

### Στροφὴ Β΄.

Σὺ δ᾽ ὦ τάλαν, ὦ κακόνυμφε
Κηδεμὼν τυράννων,
Παισὶν ὐ κατειδὼς
Ὀλέθριον βιοτᾷ προσάγεις,
Ἀλόχῳ τε σᾷ ςυγερὸν θάνατον.
Δύςανε, μοίρας ὅσον παροίχῃ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

### Ἀντιστροφὴ Β΄.

Μεταστένομαι δὲ σὸν ἄλγος
Ὦ τάλαινα παίδων
Μᾶτερ, ἃ φονεύσεις
Τὰ τέκνα νυμφιδίων ἕνεκεν
Λεχέων, ἅ σοι προλιπὼν ἀνόμως
Ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.

## ΙΑΜΒΟΙ.

Παι. Δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς,
Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ᾽. εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
Μήδ. Ἔα. Παι. Τί συγχυθεῖσ᾽ ἕστηκας ἡνίκ᾽ εὐτυχεῖς
Τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα,
Κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχῃ λόγον;
Μήδ. Αἶ αἶ.
Παι. Τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
Μήδ. Αἶ αἶ μάλ᾽ αὖθις. Παι. Μῶν τιν᾽ ἀγγέλων τύχ
Οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
Μήδ. Ἤγγειλας οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.
Παι. Τί δὴ κατηφὲς ὄμμα, καὶ δακρυῤῥοεῖς;
Μήδ. Πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ Θεοὶ
Κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
Παι. Θάρσει. κρατεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
Μήδ. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
Παι. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
Μήδ. Δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις,
Καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ,
Οἰκήσετ᾽ αἰεὶ μητρὸς ἐστερημένοι.
Ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῷν ὄνασθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ᾽ ἀνασχέθειν.
Ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην,
Ἄλλως δ᾽ ἐμόχθουν, καὶ κατεξάνθην πόνοις,
Στεῤῥὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
Ἦ μὴν πόθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ᾽ ἐμὲ,
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισι· νῦν δ᾽ ὄλωλε δὴ
Γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον ἀλγεινόν τ᾽ ἐμοί.
Ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις
Ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
Φεῦ φεῦ· τί προσδέρκεσθέ μ᾽ ὄμμασιν, τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἴ, αἴ, τί δράσω; καρδία γὰρ οἴχεται,
Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων,
Οὐκ ἂν δυναίμην. χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ᾽ ἔγωγε· χαιρέτω βουλεύματα.
Καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν,
Ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε παῖδες εἰς δόμους. ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει. χεῖρα δ' οὐ διαφθερῶ.
Ἆ, ἆ, μὴ δῆτα θυμὲ, μὴ σύγ' ἐργάσῃ τάδε.
Ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων.
Ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
Μὰ τοὺς παρ' ᾅδῃ νερτέρους ἀλάστορας,
Οὔτοι ποτ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ
Παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα, κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυται. σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι
Παῖδας. προσειπεῖν βούλομαι. δότ' ὦ τέκνα,
Δότ', ἀσπάσασθε μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον· ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
Πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων,
Χωρεῖτε, χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
Οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα τολμήσω κακὰ,
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
Ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΑΝ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Πολλάκις ἤδη διὰ λεπτοτέρων
Μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
Ἦλθον μείζους, εἰ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾶν. ἀλλὰ γὰρ ἔστι
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ
Σοφίας οὕνεκεν. πάσαισι μὲν οὔ.
Παῦρον δὴ γένος ἐν πολλαῖσιν
Εὕροις ἂν ἴσως,
Κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
Καί φημι, βροτῶν οἵτινές εἰσι
Πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
Παῖδας, προφέρειν εἰς εὐτυχίαν
Τῶν γειναμένων.
Οἱ μὲν τ' ἄτεκνοι, δι' ἀπειροσύναν
Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
Παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
Πολλῶν μόχθων ἀπέχονται.
Οἷσι δὲ τέκνων ἐστὶν ἐν οἴκοις
Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
Κατατρυχομένους τὸν ἅπαντα χρόνον,
Πρῶτον μὲν ὅπως θρέψωσιν καλῶς
Βιοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
Εἴτ' ἐπὶ χρηστοῖς μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν κατερῶ θνητοῖσι κακόν.
Καὶ δὴ γὰρ ἅλις βίοτον εὗρον,
Σώματά τ' εἰς ἥβην ἦλθε τέκνων·

Χρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρυσοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσει
Δαίμων, οὗτος φροῦδος ἐς ἀΐδαν
Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαρωτάτην
Παίδων οὕνεκα
Θνητοῖσι θεοὺς ἐπιβάλλειν;

## Ι Α Μ Β Ο Ι.

Μήδ. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
Καίτοι δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον·
Δείκνυσι δ' ὥς τι καινὸν ἀγγελεῖ κακόν.
Ἀγγ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
Λιποῦσ' ἀπήνην, μήτ' ὄχον πεδοστιβῆ.
Μήδ. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
Ἀγγ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
Μήδ. Κάλλιστον εἶπας μῦθον· ἐν δ' εὐεργέταις
Τολοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.
Ἀγγ. Τί φής; φρονεῖς μὲν ὀρθά, κοὐ μαίνῃ γύναι,
Ἥτις τυράννων ἑστίαν ᾐκισμένην,
Χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
Μήδ. Ἔχω τί κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου φίλος,
Λέξον δὲ πῶς ὤλοντο; δὶς τόσον γὰρ ἂν
Τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
Ἀγγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,

Ἥσθη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
Δμῶες. δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
Λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηΐδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
Ὀργάς τ' ἀφῄρει καὶ χόλον νεάνιδος,
Λέγων τάδ', Οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψῃς κάρα,
Φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν.
Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν.
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
Ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο.
Χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
Λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδὶ,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν.
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν

Χω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
Θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πανὸς ὀργὰς, ἤ τινος θεῶν μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' ὁρᾷ κατὰ στόμα
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας στρέφουσαν, αἷμάτ' οὐκ ἐνὸν χροΐ.
Εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
Κωκυτόν. εὐθὺς δ' ἡ μὲν εἰς πατρὸς δόμους
Ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
Φράσουσα νύμφης συμφοράν. ἅπασα δὲ
Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
Ἤδη δ' ἀνέλκων κῶλον ἔκπλεθρον δρόμου,
Ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο.
Ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
Δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο.
Διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
Χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
Θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός.
Πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,
Λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
Φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
Σείουσα χαίτην, κρᾶτά τ' ἄλλοτ' ἄλλοσε.
Ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
Σύνδεσμα χρυσὸς εἶχε. πῦρ δ' ἐπεὶ κόμην
Ἔσεισε, μᾶλλον δὶς τοσόνδ' ἐλάμπετο.
Πίτνει δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,
Πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν.
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
Οὔτ' εὐφυὲς πρόσωπον· αἷμα δ' ἐξ ἄκρου
Ἔσταζε κρατὸς συμπεφυρμένον πυρί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ,
Γναθμῶν ἀδήλοις φαρμάκοις ἀπέρρεον.
Δεινὸν θέαμα. πᾶσι δ' ἦν φόβος θιγεῖν
Νεκροῦ. τύχην γὰρ εἴχομεν διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων, συμφορᾶς ἀγνωσίᾳ,
Ἄφνω προσελθὼν δῶμα, προσπίτνει νεκρῷ.
Ὤιμωξε δ' εὐθὺς, καὶ περιπτύξας χέρας,
Κυνεῖ προσαυδῶν τοιάδ', ὦ δύστηνε παῖ,
Τίς ὧδ' ἀτίμως δαιμόνων σ' ἀπώλεσε;
Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις. δεινὰ δ' ἦν παλαίσματα.
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
Ἡ δ' ἀντελάζετ'. εἰ δὲ πρὸς βίαν ἄγοι,
Σάρκας γεραιὰς ἐσπάρασ' ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέστη, καὶ μεθῆχ' ὁ δύσμορος
Ψυχήν. κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
Πέλας. ποθεινὴ δακρύοισι συμφορά.
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου.
Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν.
Οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων,
Τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ.
Ὄλβου δ' ἐπιρρυέντος, εὐτυχέστερος
Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

Χορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χορ. Ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον, ὥς σου συμφορὰν οἰκτείρομεν
Κόρη Κρέοντος, ἥτις εἰς ᾅδου δόμους
Οἴχῃ, γάμων ἕκατι τῶν Ἰάσονος.

Μήδ. Φίλοι, δέδοκται τοὔργον, ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς,
Καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ
Ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.
Ἀλλ' εἶ· ὁπλίζου καρδία. τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ' ὦ τάλαινα χεὶρ ἐμὴ, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβίδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων.
Ὦ φίλταθ', ὡς ἔτικτες, ἀλλὰ τήνδε γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν.
Κἄπειτα θρήνει. καὶ γὰρ εἰ κτείνεις σφ', ὅμ[ως]
Φίλοι γ' ἔφυσαν· δυστυχὴς δ' ἐγὼ γυνή.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς
Ἀελίου, κατείδετε, ἴδετε τὰν
Ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον.
Σᾶς γὰρ ἀπὸ χρυσέας
Γονᾶς ἔβλαστε. Θεῶν
Δ' αἷμα πιτνεῖν φόβος ὑπ' ἀνέρων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλάνιν ὦ φάος διογενὲς κάτειργε,
Κατάπαυσον· ἔξελ' οἴκων φονίαν,
Τάλαινάν τ' ἐριννιὺ ὑπ' ἀλαςόρων.

Ἀντιςροφὴ Α'.

Μάταν μόχθος ἔῤῥει τῶν τέκνων,
Καὶ μάταν γένος φίλιον τέκες, ὦ
Κυανεᾶν λιποῦσα συμπληγάδων
Πετρᾶν ἀξενωτάταν εἰσβολάν.
Δειλαία, τί σοι φρενῶν
Βαρὺς χόλος προσπιτνεῖ,
Καὶ δυσμενὴς φόνος ἀμείβεται;
Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσμα-
τ' ἐπὶ γαῖαν. αὐτοφόνταισι ξυνῳ-
δὰ θεόθεν πιτνόντ' ἐπὶ δόμοις ἄχη.
Παι. Οἴμοι τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
Ετ. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'. ὀλλύμεθα γάρ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χορ. Ἀκούεις βοάν; ἀκούεις, τέκνων;
Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι.
Παρέλθω δόμους· ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.
Παι. Ναὶ πρὸς Θεῶν ἀρήξατ'· ἐν δέοντι γάρ.
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
Χορ. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος, ἢ σί-
δαρος, ἅτις τέκνων ὧν ἔτεκες
Ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰνὼ μανεῖσαν ἐκ Θεῶν, ὅθ᾽ ἡ Διὸς
Δάμαρνιν ἐξέπεμψε δωμάτων ἄλη.
Πίπτει δ᾽ ἁ τάλαιν᾽ ἐς ἅλμαν φόνῳ
Τέκνων δυσσεβεῖ.
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα.
Δυοῖν δὲ παίδοιν ξυνθανοῦσ᾽ ἀπόλλυται.
Τί δή ποτ᾽ οὖν γένοιτ᾽ αὖ ἔτι δεινόν;
Ὦ γυναικῶν λέχος πολύπονον,
Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά.

# ΙΑΜΒΟΙ

Ἰάσ. Γυναῖκες, αἳ τῆσδ᾽ ἐγγὺς ἕστατε στέγης,
Ἆρ᾽ ἐν δόμοισιν ἡ τὰ δείν᾽ εἰργασμένη
Μήδεια τοῖσιν, ἢ μεθέστηκεν φυγῇ;
Δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
Ἢ πτηνὸν ἆραι σῶμ᾽ ἐς αἰθέρος βάθος,
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ᾽, ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῶος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ᾽ οὐ γὰρ αὐτῆς φροντίδ᾽, ὡς τέκνων ἔχω.
Κείνην μὲν, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς.
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσώσων βίον,
Μή μοί τι δράσωσ᾽ οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
Χορ. Ὦ τλῆμον, οὐκ οἶσθ᾽ οἷ κακῶν ἐλήλυθας
Ἰᾶσον· οὐ γὰρ τούσδ᾽ ἂν ἐφθέγξω λόγους.
Ἰάσ. Τί δ᾽ ἔστιν; ἦπου κἄμ᾽ ἀποκτεῖναι θέλει;
Χορ. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ἰάσ. Οἴμοι, τί λέξεις, ὥς μ᾽ ἀπώλεσας, γύναι.
Χορ. Ὡς οὐκ ἔτ᾽ ὄντων σῶν τέκνων φρόντιζε δή.

Ἰάσ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰάσ. Ποῦ γάρ νιν ἔκτειν', ἐντὸς, ἢ 'ξωθεν δόμων;
Χορ. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψῃ φόνον.
Ἰάσ. Χαλᾶτε κλῇδας ὡς τάχιστα πρόσπολοι.
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν,
Τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι δίκην.
Μηδ. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
Λέγ', εἴ τι βούλει· χειρὶ δ' οὐ ψαύσεις ποτέ.
Τοιόνδ' ὄχημα πατρὸς ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
Ἰάσ. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι,
Θεοῖς τε κἀμοὶ, παντί τ' ἀνθρώπων γένει,
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας.
Καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον;
Ὄλοι'. ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν
Ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἑλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί.
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε. νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
Ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
Ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
Δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος.
Ἔρρ' αἰσχροποιὲ, καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
Ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
Οὐ παῖδας οὓς ἔφυσα, κἀξεθρεψάμην,
Ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.
Μήδ. Ἦ μακρ' ἂν ἐξέτεινα τοῖς δ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
Οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
Σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη,
Τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοὶ,
Οὔθ' ἡ τύραννος, οὔθ' ὅ σοι προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει,
Καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν πέδον.
Τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.
Ἰάσ. Καὐτή γε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.
Μήδ. Σάφ' ἴσθι, λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
Ἰάσ. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μήδ. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ἰάσ. Οὐ τοίνυν ἡ 'μὴ δεξιά σφ' ἀπώλεσεν.
Μήδ. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ἰάσ Λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;
Μήδ. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
Ἰάσ. Ἥτις γε σώφρων. σοὶ δὲ πάντ' ἐστὶν κακά.
Μήδ. Οἱ δ' οὐκ ἔτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ἰάσ. Οἱ δ' εἰσὶν (οἴμοι) σῷ κάρᾳ μιάστορες.
Μήδ. Ἴσασιν ὅστις ἦρξε πημονῆς Θεοί.
Ἰάσ. Ἴσασι δῆτα σὴν ἀπόπτυστον φρένα.

Μή. Στυγεῖ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
Ἰάσ. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι γ' ἀπαλλαγαί.
Μή. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ἰάσ. Θάψαι νεκρούς μοι τούσδε, καὶ κλαῦσαι πάρες.
Μή. Οὐ δῆτ'· ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ
Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας Θεοῦ,
Ὡς μήτις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν. γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομαι
Τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰάσ. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων,
Φονία τε δίκη.
Μή. Τίς δὲ κλύει σοῦ Θεὸς, ἢ δαίμων,
Τοῦ ψευδόρκου καὶ ξειναπάτα;
Ἰάσ. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτορ.
Μή. Στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον.
Ἰάσ. Στείχω δισσῶν γ' ἄμορος τέκνων.
Μή. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
Ἰάσ. Ὦ τέκνα φίλτατα. Μή. Μητρί γε. σοὶ δ' οὔ.
Ἰάσ. Κἄπειτ' ἔκτας; Μή. Πημαίνουσά σε.
Ἰάσ. Αἶ, αἶ. φιλίου χρῄζω στόματος
Παίδων ὁ τάλας προσπτύξασθαι.
Μή. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τότ' ἀπωσάμενος; Ἰάσ. Δός μοι πρὸς Θεῶν
Μήδ. Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
Ἰάσ. Οὐκ ἔστι. μάτην λόγος ἔρριπται.
Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμε-
θ', οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
Καὶ παιδοφόνου τῆς δε λεαίνης;
Ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,
Τάδε θρηνῶ, κἀπιθοάζω
Μαρτυρόμενος δαίμονας, ὥς μοι
Τέκνα κτείνασ', ἀποκωλύεις
Ψαῦσαί τε χεροῖν, θάψαι τε νεκρούς,
Οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον
Πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
Χορ. Πολλῶν ταμίας Ζεὺς ἐν ὀλύμπῳ.
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΥΠΟ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΥΠΟΘΕΣΙΣ
## ΑΙΑΝΤΟΣ ΜΑΣΤΙΓΟΦΟΡΟΥ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστὶ πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι, καὶ Αἰχμαλωτίδες, καὶ Ἑλένης ἁρπαγὴ, καὶ Μέμνων. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως, ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν. καὶ κρινομένων περὶ τῶν ὅπλων, κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων καὶ τέμνων, δοκεῖν τοὺς Ἕλληνας διαχειρίζεσθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας, ἀπάγει ἐπὶ τὴν σκηνήν. ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν. ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται, Αἴας μαστιγοφόρος, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ Λοκροῦ Αἴαντος. Δικαίαρχος δὲ Αἴαντος θάνατον ἐπιγράφει· ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς Αἴας ἀναγέγραπται. Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα, τί ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τοὐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα, ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τὸ μαστιγοῦν τὸν Ὀδυσσέα. Παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα τοῦ Αἴαντος αἰχμάλωτος παλλακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων, ὅτι Αἴας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστίν, ἀγνοοῦσα δὲ τίνος εἴη τὰ ποίμνια. μαθόντες οὖν παρ' ἀλλήλων τὸ ἀγνοούμενον, ὁ Χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι Αἴας ταῦτ' ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ Χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται, καὶ μάλιστα ὁ Χορός. Ἐντεῦθεν ὁ Αἴας προελθὼν, καὶ ἔμφρων γενόμενος, ἑαυτὸν ἀπολοφύρεται, καὶ τοῦτο Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς. ὁ δ' ὑποκριθεὶς πεπαῦσθαι, ἔξεισι δῆθεν καθαρσίων ἕνεκεν, καὶ ἑαυτὸν διαχειρίζεται. Εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, καὶ πρὸς Ἀγαμέμνονα, οὐκ ἐῶντας θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν ὁ Τεῦκρος, ἀπολοφύρεται. Παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας, ὅτι ἐξ ὀργῆς καὶ λύπης ἄκρας οἱ ἄνθρωποι εἰς μανίαν περιτρέποιται· ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχών.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ κεῖται πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα, εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν. οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. Θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι. Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν· οἱ μὲν γάρ φασιν, ὅτι ὑπὸ Πάριδος τρωθεὶς, ἦλθεν εἰς τὰς ναῦς αἱμοῤῥοῶν· οἱ δὲ, ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· (σιδήρῳ γὰρ οὐκ ἦν τρωτὸς) καὶ οὕτω τελευτᾷ. οἱ δὲ, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστὶ καὶ Σοφοκλῆς. Περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα (ὅπερ ἐκάλυπτεν ἡ τοῦ Ἡρακλέους λεοντῆ) ἄτρωτον ἦν. τὸ δὲ μὴ καλυφθὲν (ὅπερ ἦν ἡ πλευρὰ) τρωτὸν ἦν. τὸ κεφάλαιον δὲ τοῦ δράματος, Αἴαντος μανία καὶ τελευτή.

ΣΟ-

# ΣΟΦΟΚΛΕΟΥΣ

## ΑΙΑΣ ΜΑΣΤΙΓΟΦΟΡΟΣ.

### ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ Σαλαμινίων γερόντων.
ΤΕΚΜΗΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

Προλογίζει δὲ ἡ Ἀθηνᾶ.

### ΙΑΜΒΟΙ.

Ἀεὶ μὲν ὦ παῖ Λαρτίου, δέδορκά σε
Πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον,
Καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
Πάλαι κυνηγετοῦντα, καὶ μετρούμενον
Ἴχνη τἀκείνου νεοχάραχθ', ὅπως ἴδῃς
Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει

Κυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυνὸς λακαίνης ὥς τις εὔρινος, βάσις·
Ἔνδον γὰρ ἀνὴρ ἄρτι τυγχάνει, κάρα
Στάζων ἱδρῶτι, καὶ χέρας ξιφοκτόνους.
Καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
Ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
Σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

ΟΔ. Ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ Θεῶν,
Ὡς δ' εὐμαθές σου κἂν ἄποπτος ᾖς, ὅμως
Φώνημ' ἀκούω, καὶ ξυναρπάζω φρενὶ,
Χαλκοστόμου κώδωνος ὡς τυρσηνικῆς.
Καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
Βάσιν κυκλοῦντ' Αἴαντι τῷ σακεσφόρῳ.
Κεῖνον γὰρ, οὐδέν' ἄλλον ἰχνεύω πάλαι·
Νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
Ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
Ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα.
Κἀγὼ θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ·
Ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
Λείας ἁπάσας, καὶ κατηναρισμένας
Ἐκ χειρὸς, αὐτοῖς ποιμνίων ἐπιστάταις·
Τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
Καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει,
Φράζει τε, κἀδήλωσεν. εὐθέως δ' ἐγὼ
Κατ' ἴχνος ᾄσσω· καὶ τὰ μὲν, σημαίνομαι,
Τὰ δ' ἐκπέπληγμαι· κοὐκ ἔχω μαθεῖν ὅτου.
Καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος,
Τά τ' εἰσέπειτα, σῇ κυβερνῶμαι χερί.

ΑΘ. Ἔγνων Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
Τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

ΟΔ. Ἦ καὶ φίλη δέσποινα πρὸς καιρὸν πονῶ;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀθ. Ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
Ὀδ. Καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;
Ἀθ. Χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
Ὀδ. Τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;
Ἀθ. Δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
Ὀδ. Ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;
Ἀθ. Κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.
Ὀδ. Ποίαισι τόλμαις ταῖσδε, καὶ φρενῶν θράσει;
Ἀθ. Νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
Ὀδ. Ἦ καὶ παρέστη, κἀπὶ τέρμ' ἀφίκετο;
Ἀθ. Καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
Ὀδ. Καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
Ὀδ. Ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
Γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς.
Καὶ πρός τε ποίμνας ἐκτρέπω, σύμμικτά τε,
Λείας, ἄδαστα βουκόλων φρουρήματα.
Ἔνθ' εἰσπεσὼν, ἔκειρε πολύκερων φόνον
Κύκλῳ ῥαχίζων. κἀδόκει μὲν ἔσθ' ὅτε
Δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων
Ὅτ' ἄλλοτ' ἄλλον, ἐμπιτνῶν, στρατηλατῶν.
Ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις,
Ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
Κἄπειτ', ἐπειδὴ τοῦδ' ἐλώφησεν φόνου,
Τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν,
Ποίμνας τε πάσας, εἰς δόμους κομίζεται,
Ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων·
Καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
Δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
Ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν, θροῇς.
Θαρσῶν δὲ μίμνε, μηδὲ συμφορὰν δέχου
Τὸν ἄνδρ'. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὐγὰς ἀπείρξω, σὴν πρόσοψιν εἰσιδεῖν.
Οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
Δεσμοῖς ἀπευθύνοντα, προσμολεῖν καλῶ.
Αἴαντα φωνῶ. στεῖχε δωμάτων πάρος.
Ὀδ. Τί δρᾷς Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.
Ἀθ. Οὐ σῖγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρῇς;
Ὀδ. Μὴ πρὸς Θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.
Ἀθ. Τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;
Ὀδ. Ἐχθρός γε τῷ δε τἀνδρὶ, καὶ τανῦν ἔτι.
Ἀθ. Οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν.
Ὀδ. Ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
Ἀθ. Μεμηνότ' ἄνδρα περιφανῶς, ὀκνεῖς ἰδεῖν;
Ὀδ. Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.
Ἀθ. Ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
Ὀδ. Πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
Ἀθ. Ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
Ὀδ. Γένοιτο μέντ' ἂν, πᾶν Θεοῦ τεχνωμένου.
Ἀθ. Σίγα νυν ἑστὼς, καὶ μέν' ὡς κυρεῖς ἔχων.
Ὀδ. Μένοιμ' ἄν. ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
Ἀθ. Ὦ οὗτος Αἴαν, δεύτερόν σε προσκαλῶ.
Τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου;
Αἴ. Ὦ χαῖρ' Ἀθάνα, χαῖρε διογενὲς τέκνον·
Ὡς εὖ παρέστης. καί σε παγχρύσοις ἐγὼ
Στέψω λαφύροις, τῆς δε τῆς ἄγρας χάριν.
Ἀθ. Καλῶς ἔλεξας, ἀλλ' ἐκεῖνό μοι φράσον.
Ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
Αἴ. Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.
Ἀθ. Ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
Αἴ. Ὥς τ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.
Ἀθ. Τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
Αἴ. Θανόντες ἤδη, τἄμ' ἀφαιρείσθων ὅπλα.

Ἀθ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀθ. Εἶεν. τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου;
Πῶς σοι τύχης ἕστηκεν, ἢ πέφευγέ σε;
Αἴ. Ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
Ἀθ. Ἔγωγ' Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
Αἴ. Ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
Θακεῖ. θανεῖν γὰρ αὐτὸν οὔτι πω θέλω.
Ἀθ. Πρὶν ἂν τί δράσῃς; ἢ τί κερδάνῃς πλέον;
Αἴ. Πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκίου στέγης,
Ἀθ. Τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
Αἴ. Μάστιγι πρῶτον νῶτα φοινιχθεὶς, θάνῃ.
Ἀθ. Μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
Αἴ. Χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι.
Κεῖνος δὲ, τίσει τήνδε, κοὐκ ἄλλην δίκην.
Ἀθ. Σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
Χρῶ χειρί. φείδου μηδὲν, ὧνπερ ἐννοεῖς.
Αἴ. Χωρῶ πρὸς ἔργον. τοῦτό σοι δ' ἐφίεμαι,
Τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
Ἀθ. Ὁρᾷς, Ὀδυσσεῦ, τὴν Θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
Ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
Ὀδ. Ἐγὼ μὲν οὐδέν' οἶδ', ἐποικτείρω δέ νιν
Δύστηνον, ἔμπης καίπερ ὄντα δυσμενῆ,
Ὅθ' οὕνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
Οὐδὲν τὸ τούτου μᾶλλον, ἢ τοὐμὸν σκοπῶν.
Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο, πλὴν
Εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.
Ἀθ. Τοιαῦτα τοίνυν εἰσορῶν, ὑπέρκοπον
Μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς Θεοὺς ἔπος,
Μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
Ἢ χειρὶ βρίθεις, ἢ μακροῦ πλούτου βάρει.
Ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν

Ἅπαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
Θεοὶ φιλοῦσι, καὶ στυγοῦσι τοὺς κακούς.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
Σὲ μὲν εὖ πράσσοντ', ἐπιχαίρω.
Σὲ δ' ὅταν πληγὴ Διὸς, ἢ ζαμενὴς
Λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
Μέγαν ὄκνον ἔχω, καὶ πεφόβημαι
Πτηνῆς ὡς ὄμμα πελείας.
Ὣς καὶ τῆς νῦν φθιμένης νυκτὸς,
Μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
Ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
Λειμῶν' ἐπιβάντ', ὀλέσαι Δαναῶν
Βοτὰ, καὶ λείαν,
Ἥπερ δορίληπτος ἔτ' ἦν λοιπὴ,
Κτείνοντ' αἴθωνι σιδήρῳ.
Τοιούσδε λόγους ψιθύρους πλάσσων,
Εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεὺς,
Καὶ σφόδρα πείθει· περὶ γὰρ σοῦ νῦν
Εὔπειστα λέγει. καὶ πᾶς ὁ κλύων,
Τοῦ λέξαντος χαίρει μᾶλλον,
Τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
Τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς,
Οὐκ ἂν ἁμάρτοι. κατὰ δ' ἄν τις ἐμοῦ
Τοιαῦτα λέγων, οὐκ ἂν πείθοι.
Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
Καίτοι σμικροὶ μεγάλων χωρὶς,
Σφαλερὸν πύργου ῥῦμα πέλονται.

Μετὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μετὰ γὰρ μεγάλων βοιὸς, ἄεις' αὖ
Καὶ μέγας ὀρθοῖ' θ' ὑπὸ μικροτέρων.
Α'λλ' ὐ δυνατὸν τὺς ἀνοήτυς
Τύτων γνώμας προδιδάσκειν·
Υ'πὸ τοιύτων ἀνδρῶν θορυβῆ.
Χ' ἡμεῖς ὐδὲν σθένομεν πρὸς ταῦ-
τ' ἀπαλέξασθαι, σῦ χωρὶς ἄναξ.
Α'λλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
Παταγῦσιν ἅτε πτηνῶν ἀγέλαι,
Μέγαν αἰγυπιὸν ὑποδείσαντες.
Τάχ' αὖ ἐξαίφνης εἰ σὺ φανείης,
Σιγῇ πτήξειαν ἄφωνοι.

## ΕΠΩΔΙΚΗ.

### Σϖοφή.

Η'ῥά σε ταυροπόλα Διὸς Α'ρτεμις,
( Ω' μεγάλα φάτις, ὦ
Μᾶτερ αἰσχύνας ἐμᾶς, )
Ω'ρμασε πανδάμυς ἐπὶ βῦς ἀγελαίας,
Η'πυ τινὸς νίκας ἀκάρπωτον χάειν,
Η'ρα κλυτῶν ἐνάρων
Ψευσθεῖσα δώροις, εἴτ' ἐλαφηβολίαις.
Η' χαλκοθώραξ, ἤτιν' ἐνυάλιος
Μομφὰν ἔχων
Ξυνῦ δορὸς ἐν νυχίοις μαχαναῖς,
Ε'τίσατο λώβαν.

### Α'ντιϛροφή.

Οὔποτε γὰρ φρενόθεν γ' ἐπ' ἀεισερὰ,
Παῖ Τελαμῶνος ἔβας,

Τέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τόσον ἐν ποίμναισι πιτνῶν.
Ἦκοι γὰρ ἂν θεία νόσος. ἀλλ᾽ ἀπερύκοι
Καὶ Ζεὺς κακὰν κ᾽ Φοῖβος Ἀργείων φάτιν;
Εἰ δ᾽ ὑποβαλλόμενοι
Κλέπτουσι μύθους οἱ μεγάλοι βασιλεῖς,
Ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
Μὴ μὴ μ᾽ ἄναξ,
Ἔθ᾽ ὧδ᾽ ἐφάλοις κλισίαις ὄμμ᾽ ἔχων,
Κακὰν φάτιν ἄρῃς.

## ΕΠΩΔΟΣ.

Ἀλλ᾽ ἄνα ἐξ ἑδράνων, ὅπου μακραίων
Στηρίζῃ ποτὲ τᾷδ᾽ ἀγωνίῳ σχολᾷ,
Ἄταν οὐρανίαν φλέγων.
Ἐχθρῶν δ᾽ ὕβρις ὧδ᾽ ἀτάρβητα
Ὁρμᾶτ᾽ ἐν εὐανέμοις βάσσαις
Πάντων καγχαζόντων γλώσσαις
Βαρυάλγητ᾽, ἐμοὶ δ᾽ ἄχος ἕστακε.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
Γενεᾶς χθονίων ἀπ᾽ Ἐρεχθειδᾶν,
Ἔχομεν στοναχὰς οἱ κηδόμενοι
Τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
Νῦν γὰρ ὁ δεινὸς, ὁ μέγας, ὠμοκρατὴς
Αἴας, θολερῷ
Κεῖται χειμῶνι νοσήσας.
Χορ. Τί δ᾽ ἐνήλλακται τῆς ἀμερίας
Νὺξ ἥδε βάρος,
Παῖ τοῦ φρυγίου Τελεύταντος;

Λέγ᾽,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λέγ', ἐπεί σε λέχος δοριάλωτον.
Στέρξας, ἀνέχει θούριος Αἴας.
Ὥς τ' οὐκ ἂν ἄϊδρις ὑπείποις.
Τε. Πῶς δῆτα λέγω λόγον ἄῤῥητον;
Θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσῃ.
Μανίᾳ γὰρ ἁλοὺς ἡμῖν ὁ κλεινὸς
Νύκτερος Αἴας, ἀπελωβήθη.
Τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
Χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
Κείνου χρηστήρια τἀνδρός.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Οἵαν ἐδήλωσας ἀνδρὸς
Αἴθωνος ἀγγελίαν
Ἄτλατον, οὐδὲ φευκτὰν,
Τῶν μεγάλων Δαναῶν
Ὑποκληϊζομέναν,
Τὰν ὁ μέγας μῦθος ἀέξει.
Ὤμοι, φοβοῦμαι τὸ προσέρπον·
Περίφαντος ἀνὴρ
Θανεῖται παραπλήκτῳ
Χερὶ, συγκατακτὰς
Κελαινοῖς ξίφεσι βοτὰ, καὶ
Βοτῆρας ἱππονόμους.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Ὤμοι· κεῖθεν, κεῖθεν ἄρ' ἡμῖν.
Δεσμῶτιν ἄγων ἤλυθε ποίμναν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὧν τὴν μὲν, ἔσω σφάζ' ἐπὶ γαίας,
Τὰς δὲ πλευροκοπῶν, δίχ' ἀνερρήγνυ,
Δύο δ' ἀργίποδας κριὺς ἀνελὼν,
Τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
Ῥίπτει θερίσας, τὸν δ' ὀρθὸν ἄνω
Κίονι δήσας,
Μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν,
Παίει λιγυρᾷ μάστιγι διπλῇ.
Κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων
Κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν,

Ἀντιστροφή.

Χορ. Ὥρα τίν' ἤδη κρᾶτα
Καλύμμασι κρυψάμενον.
Ποδοῖν κλοπὰν ἀρέσθαι,
Ἢ θοὸν εἰρεσίας
Ζυγὸν ἑζόμενον,
Ποντοπόρῳ ναῒ μεθεῖναι.
Τοίας ἐρέσσουσιν ἀπειλὰς
Δικρατεῖς Ἀτρεῖδαι
Καθ' ἡμῶν. πεφόβημαι
Λιθόλευστον ἄρην.
Ξυναλγεῖν μετὰ τοῦδε τυπεὶς,
Τὸν αἶσ' ἄπλατος ἔχει.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Τε. Οὐκέτι. λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
Ἄϊξας ὀξὺς νότος ὣς, λήγει.
Καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη

Μη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηδενὸς ἄλλου παραπράξαντος,
Μεγάλας ὀδύνας ὑποτείνει.

## ΙΑΜΒΟΙ.

Χορ. Ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ.
Φρούδου γὰρ ἤδη τοῦ κακοῦ, μείων λόγος.
Τε. Πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν λάβοις,
Φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
Ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;
Χορ. Τό, τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.
Τε. Ἡμεῖς ἄρ' οὐ νοσοῦντες, ἀπώμεθα νῦν.
Χορ. Πῶς τοῦτ' ἔλεξας, οὐ κάτοιδ' ὅπως λέγεις.
Τε. Ἀνὴρ ἐκεῖνος ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
Αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
Ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών.
Νῦν δ' ὡς ἔληξε, κἀνέπνευσε τῆς νόσου,
Κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ,
Ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον, ἢ πάρος.
Ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;
Χορ. Ξύμφημι δή σοι, καὶ δέδοικα μὴ 'κ θεοῦ
Πληγή τις ἥκοι. πῶς γὰρ εἰ πεπαυμένος.
Μηδέν τι μᾶλλον, ἢ νοσῶν εὐφραίνεται;
Τε. Ὡς ὧδ' ἐχόντων τῶνδ', ἐπίστασθαί σε χρή.
Χορ. Τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
Δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.
Τε. Ἅπαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
Κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι
Λαμπτῆρες οὐκέτ' ἦθον, ἄμφηκες λαβὼν
Ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
Κἀγὼ 'πιπλήσσω, καὶ λέγω, τί χρῆμα δρᾷς


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἴας, τί τήνδ᾽ ἄκλητος, ὅθ᾽ ὑπ᾽ ἀγγέλων
Κληθεὶς, ἀφορμᾷς πεῖραν, ὅτε τῆς κλύων
Σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
Ὁ δ᾽ εἶπε πρός με βαί᾽, ἀεὶ δ᾽ ὑμνούμενα,
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
Κἀγὼ μαθοῦσ᾽, ἔληξ᾽· ὁ δ᾽ ἐσσύθη μόνος.
Καὶ τὰς ἐκεῖ μὲν, οὐκ ἔχω λέγειν πάθας.
Ἔσω δ᾽ ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
Ταύρους, κύνας, βοτῆρας, εὔκερών τ᾽ ἄγραν,
Καὶ τοὺς μὲν, ηὐχένιζε, τοὺς δ᾽ ἄνω τρέπων
Ἔσφαζε, κἀῤῥάχιζε, τοὺς δὲ, δεσμίους
Ἠκίζεθ᾽ ὥστε φῶτας, ἐν ποίμναις πιτνῶν.
Τέλος δ᾽ ἐπαΐξας διὰ θυρῶν σκιᾷ τινι,
Λόγους ἀνέσπα. τοὺς μὲν, Ἀτρειδῶν κάτα,
Τοὺς δ᾽ ἀμφ᾽ Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,
Ὅσην κατ᾽ αὐτῶν ὕβριν ἐκτίσαιτ᾽ ἰών.
Κἄπειτ᾽ ἀπαΐξας αὖθις ἐς δόμους πάλιν.
Ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται.
Καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
Παίσας κάρα, θώϋξεν· ἐν δ᾽ ἐρειπίοις
Νεκρῶν ἐρειφθεὶς, ἕζετ᾽ ἀρνείου φόνου,
Κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί·
Καὶ τὸν μὲν, ἧστο πλεῖστον ἄφθογγος χρόνον.
Ἔπειτ᾽ ἐμοὶ τὰ δείν᾽ ἐπηπείλησ᾽ ἔπη,
Εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος.
Κἀνήρετ᾽ ἐν τῷ πράγματος κυρεῖ ποτέ.
Κἀγὼ, φίλοι, δείσασα τοὐξειργασμένον,
Ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην·
Ὁ δ᾽ εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
Ἃς οὔποτ᾽ αὐτοῦ πρόσθεν εἰσήκουσ᾽ ἐγώ.
Πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους

Τοιούς

Τοιὰς δ' ἀεὶ ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν.
Ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων,
Ὑπεςέναζε ταῦρος ὡς μυκώμενος.
Νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ,
Ἄσιτος ἀνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
Σιδηροκμῆσιν, ἥσυχος θακεῖ πεσών.
Καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
Τοιαῦτα γάρ πως καὶ λέγει, κὠδύρεται.
Ἀλλ' ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐςάλην,
Ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
Φίλων γὰρ οἱ τοιοῖδε νικῶνται φίλοι.

Χορ. Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
Ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

Αἴ. Ἰώμοι μοι.

Τε. Τάχ' ὡς ἔοικε μᾶλλον, ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἵαν τήνδε θωΰσει βοάν;

Αἴ. Ἰώμοι μοι.

Χορ. Ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
Νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

Αἴ. Ἰὼ παῖ, παῖ.

Τε. Ὤμοι τάλαιν', Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
Τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

Αἴ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
Λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

Χορ. Ἀνὴρ, φρονεῖν ἔοικεν, ἀλλ' ἀνοίγετε.
Τάχ' ἂν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.

Τε. Ἰδοὺ διοίγω, προσβλέπειν δ' ἔξεστί σοι
Τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ Α΄.

Αἴ. Ἰώμοι φίλοι ναυβάται.
Μόνοι ἐμῶν φίλων, μόνοι
τ᾽ ἐμμένοντες ὀρθῷ νόμῳ.
Ἴδεθέ μ᾽, οἷον ἄρτι κῦμα
Φοινίας ὑπὸ ζάλης
Ἀμφίδρομον κυκλεῖται.

Χορ. Οἴμ᾽, ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
Δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

Ἀντιστροφὴ Α΄.

Αἴ. Ἰώμοι γένος ναΐας
Ἀρωγὸν τέχνας, ἁλίαν
Ὃς ἐπέβας ἑλίσσων πλάταν.
Σέ τοι σέ τοι μόνον δέδορ-
κα ποιμένων ἐπαρκέσον-
τ᾽. ἀλλά με συνδάϊξον.

Χο. Εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
Ἄκος. πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

Στροφὴ Β΄.

Αἴ. Ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
Τὸν ἐν δαΐαις ἄτρεσον μάχαις,
Ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
Ὤμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.

Τε. Μὴ δέσποτ᾽ Αἴας, λίσσομαί σ᾽ αὔδα τάδε.

Αἴ. Οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμῇ πόδα;
Αἶ, αἶ, αἶ, αἶ.

Χορ. Ὦ πρὸς Θεῶν ὕπεικε, καὶ φρόνησον εὖ.

Στροφὴ Γ΄.

Αἴ. Ἰὼ δύσμορος, ὃς χεροῖν

Με-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μεθῆκα τὰς ἀλάστορας,
Ἐν δ' ἑλίκεσσι βουσὶ καὶ
Κλυτοῖς πεσὼν αἰπολίοις,
Ἐρεμνὸν αἷμ' ἔδευσα.
Χορ. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

Ἀντιστροφὴ Β'.

Αἴ. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
Κακῶν ὄργανον, τέκνον Λαερτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
Ἦπου πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.
Χορ. Ξὺν τῷ Θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
Αἴ. Ἴδοιμι δή νιν, καίπερ ὧδ' ἀτώμενος.
Ἰώ μοί μοι.
Χορ. Μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

Ἀντιστροφὴ Γ'.

Αἴ. Ἰὼ Ζεῦ προγόνων πάτερ,
Πῶς ἂν τὸν αἱμυλώτατον,
Ἐχθρὸν, ἄλημα, τούς τε δισ-
σάρχας ὀλέσας βασιλῆς,
Τέλος θάνοιμι καὐτός;
Τε. Ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
Εὔχου. τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνηκότος;

Στροφὴ Δ'.

Αἴ. Ἰὼ σκότος, ἐμὸν φάος, ἔρεμβος
Ὦ φαεννὸν ὡς ἐμοὶ,
Ἕλεσθ' ἕλεσθ' οἰκήτορα,
Ἕλεσθέ μ'. οὔτε γὰρ Θεῶν
Γένος, οὔθ' ἀμερίων



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔτ' ἄξιος βλέπειν τι-
ν' εἰς ὄνησιν ἀνθρώπων.
Ἀλλά μ' ἁ Διός γ' ἀλκίμα Θεὸς
Ὀλέθριον αἰκίζει.
Ποῖ τις οὖν φύγῃ;
Ποῖ μολὼν μενῶ;
Εἰ τὰ μὲν φθίνει, φίλοι,
Τοῖς δ' ὁμοῦ πέλας,
Μωραῖς δ' ἄγραις προσκείμεθα.
Πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
Χειρὶ φονεύοι.

Τε. Ὢ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
Φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν.

Ἀντιστροφὴ Δ'.

Αἴ. Πόροι ἁλίρροθοι, πάραλά τ' ἄντρα,
Καὶ νέμος ἐπάκτιον,
Πολὺν πολύν με δαρόν τε δὴ
Κατείχετ' ἀμφὶ Τροίαν
Χρόνον, ἀλλ' οὐκέτι μ' οὐκέτι
Ἀμπνοὰς ἔχοντα.
Τοῦτό τις φρονῶν ἴστω.
Ἰὼ Σκαμάνδριοι γείτονες ῥοαὶ
Εὔφρονες Ἀργείοις,
Οὐκέτ' ἄνδρα με
Τόνδ' ἴδητ' ( ἔπος
Ἐξερέω μέγ' ) οἷον οὔτινα
Τροία στρατοῦ
Δέρχθη, χθονὸς μολόντ' ἄπο
Ἑλλανίδος. τανῦν δ' ἄτιμος
Ὧδε πρόκειμαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Ι Α Μ Β Ο Ι.

Χορ. Οὔτοί σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
Ἔχω, κακοῖς τοιοῖςδε συμπεπτωκότα.
Αἴ. Αἲ, αἴ. τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
Τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς.
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ,
Καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
Ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
Τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ,
Πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων.
Ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν εἰς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
Οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
Ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
Καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ,
Εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
Κρίνειν ἔμελλε κράτος ἀριστείας τινὶ,
Οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
Νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας,
Ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη·
Κεἰ μὴ τόδ' ὄμμα, καὶ φρένες διάστροφοι
Γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
Δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
Νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάματος Θεὰ,
Ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευθύνοντ' ἐμὴν,
Ἔσφηλεν, ἐμβαλοῦσα λυσσώδη νόσον,
Ὥς τ' ἐν τοιοῖςδε χεῖρας αἱμάξαι βοτοῖς·
Κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
Ἐμοῦ μὲν οὐχ ἑκόντος. Εἰ δέ τις Θεῶν

Βλά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βλάπτοι, φύγοι γ' ἂν χὠ κακὸς τὸν κρείσσονα.
Καὶ νῦν τί χρὴ δρᾷν, ὅστις ἐμφανῶς Θεοῖς
Ἐχθαίρομαι· μισεῖ δέ μ' Ἑλλήνων στρατός·
Ἔχθει δὲ Τροία πᾶσα, καὶ πεδία τάδε;
Πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας,
Μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
Καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
Γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
Ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
Οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
Πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις,
Καὶ δρῶν τι χρηστὸν, εἶτα λοίσθιον θάνω;
Ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράνοιμί που.
Οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
Τοιάδ', ἀφ' ἧς γέροντι δηλώσω πατρὶ,
Μήτοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
Αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
Κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
Τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει,
Προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν,
Ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
Ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
Τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον,
Χορ. Οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον
Αἴας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
Παῦσαί γε μέντοι, καὶ δὸς ἀνδράσιν φίλοις
Γνώμης κρατῆσαι, τάς δε φροντίδας μεθείς.
Τε. Ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
Οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.

Ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
Εἴπερ τινὸς, σθένοντος ἐν πλούτῳ Φρυγῶν·
Νῦν δ' εἰμὶ δούλη. Θεοῖς γὰρ ὧδ' ἔδοξέ που,
Καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν ἐπεὶ
Τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σὰ,
Καί σ' ἀντιάζω πρός τ' Ἐφεστίου Διὸς,
Εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοὶ,
Μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
Τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἀφεὶς τινί.
Ἢν γὰρ θάνῃς σὺ, καὶ τελευτήσας ἀφῇς,
Ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ,
Βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο,
Ξὺν παιδὶ τῷ σῷ δούλιον ἕξειν τροφήν.
Καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
Λόγοις ἰάπτων· ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
Οἵας λατρείας, ἀνθ' ὅσου ζήλου τρέφει.
Τοιαῦτ' ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ·
Σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα, καὶ τῷ σῷ γένει.
Ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν, ἐν λυγρῷ
Γήρᾳ προλείπων. αἴδεσαι δὲ μητέρα
Πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
Θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν.
Οἴκτειρε δ' ὦ 'ναξ παῖδα τὸν σὸν, εἰ νέας
Τροφῆς στερηθεὶς, σοῦ διοίσεται μόνος
Ὑπ' ὀρφανιστῶν μὴ φίλων. ὅσον κακὸν
Κείνῳ τε κἀμοὶ τοῦθ' ὅταν θάνῃς, νεμεῖς.
Ἐμοὶ γὰρ οὐκέτ' ἔστιν εἰς ὅ,τι βλέπω,
Πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ' ᾔστωσας δορὶ,
Καὶ μητέρ', ἀλλ' ἡ μοῖρα τὸν φύσαντά με,
Καθεῖλεν ᾅδου θανασίμους οἰκήτορας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;
Τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σώζομαι.
Ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. Ἀνδρί τοι χρεὼν
Μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
Ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος.
Οὐκ ἂν γένοιτό ποθ' οὗτος εὐγενὴς ἀνήρ.

Χορ. Αἴας, ἔχειν σ' ἂν οἶκτον, ὡς κἀγὼ φρενί,
Θέλοιμ' ἄν. αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.

Αἴ. Καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
Ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.

Τε. Ἀλλ' ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.

Αἴ. Κόμιζε νῦν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω.

Τε. Καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.

Αἴ. Ἐν τοῖς δε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;

Τε. Μή σοί γέ που δύστηνος ἀντήσας θάνοι.

Αἴ. Πρέπον γε τ' ἦν ἂν δαίμονος τοῦ 'μοῦ τόδε.

Τε. Ἀλλ' οὖν ἐγὼ φύλαξα, τοῦτό γ' ἀρκέσαι.

Αἴ. Ἐπῄνεσ' ἔργον, καὶ πρόνοιαν, ἣν ἔθου.

Τε. Τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;

Αἴ. Δός μοι προσειπεῖν αὐτόν, ἐμφανῆ τ' ἰδεῖν.

Τε. Καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.

Αἴ. Τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;

Τε. Ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
Ἄγ' αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.

Αἴ. Ἕρποντι φωνῇς, ἢ λελειμμένῳ λόγου;

Τε. Καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.

Αἴ. Αἶρ' αὐτὸν αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ
Νεοσφαγῆ που τόνδε προσλεύσσων φόνον,
Εἴπερ δικαίως ἔσ' ἐμὸς τὰ πατρόθεν.
Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς

Δεῖ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δεῖ πωλοδαμνεῖν, κἀξομοιοῦσθαι φύσιν,
Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος
Τὰ δ' ἄλλ' ὅμοιος. καὶ γένοι' ἂν οὐ κακός.
Καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
Ὅθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν.
Ἐν τῷ φρονεῖν γὰρ μηδὲν, ἥδιστος βίος.
Τὸ μὴ φρονεῖν γὰρ, κάρτ' ἀνώδυνον κακὸν,
Ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι λάθῃς.
Ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸς
Δείξῃς ἐν ἐχθροῖς, οἷος ἐξ οἵου 'τράφης.
Τέως δὲ κούφοις πνεύμασι βόσκου, νέαν
Ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
Οὔτοι σ' Ἀχαιῶν, οἶδα, μήτις ὑβρίσει
Στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
Τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφὶ σοὶ
Λείψω, τροφῆς ἄοκνον ἔμπα, εἰ τανῦν
Τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων,
Ἀλλ' ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
Ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
Κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολὴν, ὅπως
Τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων,
Τελαμῶνι δείξῃ, μητρί τ' Ἐριβοίᾳ λέγω,
Ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεὶ,
Μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω Θεοῦ.
Καὶ τἀμὰ τεύχη, μήτ' ἀγωνάρχαι τινὲς
Θήσουσ' Ἀχαιοῖς, μήθ' ὁ λυμεὼν ἐμός,
Ἀλλ' αὐτό μοι σὺ παῖ λαβὼν ἐπώνυμον
Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων
Πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος.
Τὰ δ' ἄλλα τεύχη, κοίν' ἐμοὶ τεθάψεται.
Ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ δῶμ᾽ ἀπάκτε. μηδ᾽ ἐπισκήνους γόους
Δάκρυε. Κάρτα τοι φιλοίκτιστον γυνή.
Πύκαζε θᾶσσον· Οὐ πρὸς ἰατρᾶ σοφᾶ
Θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
Χορ. Δέδοικ᾽ ἀκέων τήνδε τὴν προθυμίαν.
Οὐ γάρ μ᾽ ἀρέσκει γλῶσσά σε τεθηγμένη.
Τε. Ὦ δέσποτ᾽ Αἴας, τίποτε δρασείεις φρενί;
Αἴ. Μὴ κρίνε, μὴ 'ξέταζε. Σωφρονεῖν καλόν.
Τε. Οἴμ᾽ ὡς ἀθυμῶ, καί σε πρὸς τῦ σῦ τέκνυ,
Καὶ Θεῶν ἱκνῦμαι, μὴ προδὺς ἡμᾶς γένῃ.
Αἴ. Ἄγαν γε λυπεῖς. ἐ κάτοισ᾽ ἐγὼ Θεοῖς
Ὡς ἐδὲν ἀρκεῖν εἰμ᾽ ὀφειλέτης ἔτι;
Τε. Εὔφημα φώνει. Αἴ. Τοῖς ἀκέσιν λέγε.
Τε. Σὺ δ᾽ ἐχὶ πείσῃ; Αἴ. Πόλλ᾽ ἄγαν ἤδη θροεῖς.
Τε. Ταρβῶ γὰρ ὦ 'ναξ. Αἴ. Οὐ ξυνέρξεθ᾽ ὡς τάχος;
Τε. Πρὸς Θεῶν μαλάσσε. Αἴ. Μῶρά μοι δοκεῖς φρονεῖν.
Εἰ τὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α΄.

Χορ. Ὦ κλεινὰ Σαλαμίς, σὺ μέν πε,
Ναίεις ἁλίπλαγκτος, εὐδαίμων,
Πᾶσι περίφαντος αἰεί.
Ἐγὼ δ᾽ ὁ τλάμων,
Παλαιὸς ἀφ᾽ ἔ χρόνος,
Ἰδαίᾳ μίμνω
Λειμωνίᾳ πόᾳ μήλων
Ἀνήριθμος, αἰὲν εὐνώμᾳ,
Χρόνῳ τρυχόμενος, κακὰν

Ἐλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐλπίδ' ἔχων ἔτι μέ ποτ' αὔσειν
Τὸν ἀπότροπον
Ἀΐδηλον ἀΐδαν.

Ἀντιστροφή.

Καί μοι δυσθεράπευτος Αἴας
Ξυνεστιν ἔφεδρος, (ἰώ μοι μοι,)
Θείᾳ μανίᾳ ξυναυλος,
Ὃν ἐξεπέμψω
Πρὶν εὖ ποτε θυρίῳ
Κρατοῦντ' ἐν Ἄρει.
Νῦν δ' αὖ φρενὸς οἰοβώτας,
Φίλοις μέγα πένθος εὕρηται.
Τὰ πρὶν δ' ἔργα χεροῖν
Μέγιστ' ἀρετᾶς,
Ἄφιλα παρ' ἀφίλοις
Ἔπεσ' ἔπεσεν
Μελέοις Ἀτρείδαις.

Στροφὴ Β'.

Ἦπου παλαιᾷ μὲν σύντροφος ἁμέρᾳ,
Λευκῷ δὲ γήρᾳ
Μάτηρ νιν ὅταν νοσοῦντα
Φρενομώρως ἀκούσῃ,
Αἴλινον, αἴλινον
Οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς
Ἥσει δύσμορος, ἀλλ' ὀ-
ξυτόνους μὲν ᾠδὰς
Θρηνήσει. χερόπληκτοι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δ' ἐν στέρνοις πεσοῦνται

Δοῦποι, καὶ πολιᾶς

Ἀμύγματα χαίτας.

Ἀντιστροφὴ Β'.

Κρείσσων γὰρ ἀΐδᾳ κεύ-
θων, ἢ νοσῶν μάταν,
Ὃς ἐκ πατρῴας ἥκων γενεᾶς,
Πολυπόνων Ἀχαιῶν,
Οὐκέτι συντρόφοις
Ὀργαῖς ἔμπεδος,
Ἀλλ' ἐκτὸς ὁμιλεῖ.
Ὦ τλᾶμον πάτερ,
Οἵαν σε μένει πυθέσθαι
Παιδὸς δύσφορον ἄταν,
Ἂν οὔπω τις ἔθρεψεν
Αἰὼν Αἰακιδᾶν, ἄτερθε τοῦδε.

## Ι Α Μ Β Ο Ι.

Α'. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος,
Φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται.
Κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται
Χ' ὡ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες.
Κἀγὼ γὰρ ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
Βαφῇ σίδηρος ὥς, ἐθηλύνθην στόμα
Πρὸς τῆσδε τῆς γυναικός. οἰκτείρω δέ νιν
Χήραν παρ' ἐχθροῖς, παῖδά τ' ὀρφανὸν λιπεῖν.
Ἀλλ' εἶμι πρός τε λουτρὰ, καὶ παρακτίους
Λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ,
Μῆνιν βαρεῖαν ἐξαλύσωμαι Θεᾶς.
Μολών τε χῶρον, ἔνθ' ἂν ἀστιβῆ κίχω,

Κρύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κρύψω τόδ' ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν,
Γαίας ὀρύξας, ἔνθα μήτις ὄψεται,
Ἀλλ' αὐτὸ νὺξ, ᾅδης τε, σωζόντων κάτω.
Ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
Παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
Οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
Ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.
Τοιγὰρ τολοιπὸν εἰσόμεσθα μὲν Θεοῖς
Εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον τιμῇ.
Καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα,
Τιμαῖς ὑπείκει. τοῦτο μὲν νιφοστιβεῖς
Χειμῶνες, ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
Ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος,
Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
Δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
Στένοντα πόντον. ἐν δ' ὁ παγκρατὴς ὕπνος,
Λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
Ἡμεῖς δὲ, πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
Ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως, ὅτι
Ὅτ' ἐχθρὸς ἡμῖν, ἐς τοσόνδ' ἐχθραντέος,
Ὡς καὶ φιλήσων αὖθις. ἔς τε τὸν φίλον
Τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
Ὡς αἰὲν οὐ μενοῦντα. Τοῖς πολλοῖσι γὰρ
Βροτῶν, ἄπιστος ἔσθ' ἑταιρείας λιμήν.
Ἀλλ' ἀμφὶ μὲν τούτοισιν. εὖ σχήσει. σὺ δὲ,
Ἔσω θεοῖς ἐλθοῦσα, διὰ τέλους γύναι,
Εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
Ὑμεῖς θ' ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
Τιμᾶτε, Τεύκρῳ τ', ἢν μόλῃ, σημήνατε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
Ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον.
Ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
Πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφή.

Χορ. Ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμαν.
Ἰώ, ἰώ, Πὰν, Πάν.
Ὦ Πὰν, Πὰν, ἁλίπλαγκτε
Κυλλανίας χιονοκτύπου
Πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
Θεῶν χοροποιὲ ἄναξ, ὅπως μοι
Νύσια Κνώσι' ὀρχήματ' αὐτοδαῆ
Ξυνὼν ἰάψῃς.
Νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων
Μολὼν ἄναξ Ἀπόλλων
Ὁ Δάλιος, εὔγνωστος,
Ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.

### Ἀντιστροφή.

Ἔλυσε γὰρ αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
Ἰώ, ἰώ. νῦν αὖ,
Νῦν ὦ Ζεῦ, πάρα λευκὸν
εὐάμερον πελάσαι φάος
Θεῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
Λαθίπονος πάλιν, Θεῶν δ' αὖ
Πάνθυτα θέσμι' ἐξήνυσεν, εὐνομίᾳ
Σέβων μεγίστᾳ.

Πάνθ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πάνθ' ὁ μέγας χρόνος μαραίνει τε, καὶ φλέγει.
Κ' οὐδὲν ἀναύδητον φατίξαι
μ' ἄν, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετεγνώσθη
Θυμὸν Ἀτρείδαις μεγάλων τε νεικέων.

# ΙΑΜΒΟΙ.

Ἄγ. Ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
Τεῦκρος πάρεστι ἄρτι Μυσίων ἄπο
Κρημνῶν. μέσον δὲ προσμολὼν στρατήγιον,
Κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
Στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
Μαθόντες, ἀμφέστησαν. εἶτ' ὀνείδεσιν
Ἤρασσον ἔνθεν, κἄνθεν. οὔτις ἔσθ' ὃς οὔ,
Τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
Ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
Τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς, θανεῖν.
Ὥς τ' εἰς τοσοῦτον ἦλθον, ὥστε καὶ χεροῖν
Κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω,
Ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
Ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
Τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
Χορ. Οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
Βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
Ἄγ. Ἰοῦ. ἰοῦ. ἰοῦ.
Βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
Πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς;
Χορ. Τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;
Ἄγ. Τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μὴ ἔξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχῃ.
Χορ. Ἀλλ' οἴχεταί τοι πρὸς τὸ κέρδιστον τραπεὶς
Γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
Ἄγ. Ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
Εἴπερ τι Κάλχας εὖ φρονῶν, μαντεύεται.
Χορ. Ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;
Ἄγ. Τοσοῦτον οἶδα, καὶ παρὼν ἐτύγχανον.
Ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
Εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
Θεὶς, εἶπε, κἀπέσκηψε παντοίᾳ τέχνῃ
Εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε,
Αἴανθ' ὑπὸ σκηναῖσι, μηδ' ἀφέντ' ἐᾶν,
Εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλειν ποτέ.
Ἐλᾷ γὰρ αὐτὸν τῇδε θ' ἡμέρᾳ μόνῃ,
Δίας Ἀθηνᾶς μῆνις, ὡς ἔφη λέγων.
Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα,
Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις,
Ἔφασχ' ὁ μάντις, ὅς τις ἀνθρώπου φύσιν
Βλαστὼν, ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
Κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος,
Ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
Ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, Τέκνον, δορὶ
Βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.
Ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
Πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ,
Κράτος κατακτήσαιτ'. ἐγὼ δὲ καὶ δίχα
Κείνων, πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
Τοσόνδ' ἐκόμπει μῦθον. εἶτα δεύτερον
Δίας Ἀθηνᾶς, ἡνίκ' ὀτρύνουσά νιν
Ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,



Ψηφιοποίηση Κεντρική Βιβλιοθήκη Βέροιας

Τότ' ἀντιφωνεῖ δεινὸν ἄῤῥητόν τ' ἔπος,
Ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
Ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
Τοιοῖς δὲ τοῖς λόγοισιν ἀστεργῆ Θεᾶς
Ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.
Ἀλλ' εἴπερ ἐστὶ τῇ δὲ θ' ἡμέρᾳ, τάχ' ἂν
Γενοίμεθ' αὐτοῦ σὺν Θεῷ σωτήριοι.
Τοιαῦθ' ὁ μάντις εἶφ'. ὁ δ' εὐθὺς ἐξ ἕδρας
Πέμπει με σοὶ φέροντα τάς δ' ἐπιστολὰς
Τεῦκρος, φυλάσσειν. εἰ δ' ἀπεστερήμεθα,
Οὐκ ἔστιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
Χορ. Ὦ δαΐα Τέκμησσα, δύσμορον γένος.
Ὅρα μολοῦσα τόνδ', ὁποῖ' ἔπη θροεῖ.
Ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο, μὴ χαίρειν τινά.
Τε. Τί μ' αὖ τάλαιναν ἀρτίως πεπαυμένην
Κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;
Χορ. Τοῦ δ' εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν, ἣν ἤλγησ' ἐγώ.
Τε. Οἴμοι, τί φὴς ὦ 'νθρωπε, μῶν ὀλώλαμεν;
Ἀγ. Οὐκ οἶδα τὴν σὴν πρᾶξιν. Αἴαντος δ' ὅτι
Θυραῖος εἴπερ ἐστὶν, οὐ θαρσῶ πέρι.
Τε. Καὶ μὴν θυραῖος, ὥς τε μ' ὠδίνειν. τί φής;
Ἀγ. Ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
Σκηνῆς ὕπαυλον, μηδ' ἀφιέναι μόνον.
Τε. Ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῷ, λέγει τάδε;
Ἀγ. Πάρεστ' ἐκεῖνος ἄρτι. τὴν δὲ δ' ἔξοδον
Ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.
Τε. Οἴμοι τάλαινα, τοῦ πότ' ἀνθρώπων μαθών;
Ἀγ. Τοῦ Θεστορείου μάντεως καθ' ἡμέραν
Τὴν νῦν, ὅ τ' αὐτῷ θάνατον, ἢ βίον φέρει.
Τε. Οἲ ἐγὼ φίλοι, πρόστητ' ἀναγκαίας τύχης.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ πέμψαθ' οἱ μὲν, Τεῦκρον ἐν τάχει μολεῖν.
Οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' αὖ θηλέους
Ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη,
Καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
Οἴμοι, τί δράσω τέκνον, οὐχ ἱδρυτέον.
Ἀλλ' εἶμι κἀγὼ κεῖσ', ὅποιπερ ἂν σθένω.
Χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
Σώζειν θέλοντες ἄνδρα γ', ὃς σπεύδει θανεῖν.
Χορ. Χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.
Τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.
Αἴ. Ὁ μὲν σφαγεὺς ἕστηκεν, ᾗ τομώτατος
Γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή.
Δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
Μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν.
Πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
Σιδηροβρῶτι θηγάνῃ νεηκονής.
Ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγὼ
Εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
Οὕτω μὲν εὐσκευοῦμεν. ἐκ δὲ τῶνδέ μοι,
Σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκὸς, ἄρκεσον.
Αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν,
Πέμψόν τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
Πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,
Καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος,
Ῥιφθῶ κυσὶ πρόβλητος, οἰωνοῖς θ' ἕλωρ.
Τοσαῦτά σ' ὦ Ζεῦ προστρέπω. καλῶ δ' ἅμα
Πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι.
Ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι,
Πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.

Κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους.
Ἀεί δ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
Σεμνὰς Ἐριννῦς, τανύποδας, μαθεῖν ἐμὲ
Πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
Καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
Ξυναρπάσειαν. ὥσπερ εἰσορῶσ' ἐμὲ
Αὐτοσφαγῆ πίπτοντα, τοὺς αὐτοσφαγεῖς
Πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
Ἴτ' ὦ ταχεῖαι, ποίνιμοί τ' Ἐριννύες,
Γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
Σὺ δ' ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
Ἴδης, ἐπισχὼν χρυσόνωτον ἡνίαν,
Ἄγγειλον ἄτας τὰς ἐμὰς, μόρον τ' ἐμὸν
Γέροντι πατρὶ, τῇ τε δυστήνῳ τροφῷ.
Ἦπου τάλαινα τὴν δ' ὅταν κλύῃ φάτιν,
Ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην,
Ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
Ὦ θάνατε, θάνατε, νῦν μ' ἐπίσκεψαι μολών.
Καί τοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
Σὲ δ' ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
Καὶ τὸν διφρευτὴν ἥλιον προσεννέπω,
Πανύστατον δὴ, κοὔποτ' αὖθις ὕστερον.
Ὦ φέγγος, ὦ γῆς ἱερὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
Κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
Κρῆναί τε, ποταμοί θ' οἵδε. καὶ τὰ Τρωϊκὰ
Πεδία, προσαυδῶ. χαίρετ' ὦ τροφεῖς ἐμοί.
Τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ.
Τὰ δ' ἄλλ', ἐν ᾅδου τοῖς κάτω μυθήσομαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡμ. Πόνος πόνῳ πόνον φέρει,
Πᾷ, πᾷ,
Πᾷ γὰρ οὐκ ἔβαν ἐγώ.
Κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.
Ἰδοὺ, ἰδού. δοῦπον αὖ κλύω τινά.
Ἡμ. Ἡμῶν γε ναὸς
Κοινόπλουν ὁμιλίαν.
Ἡμ. Τί οὖν δή;
Ἡμ. Πᾶν ἐπίβηται πλευρὸν ἕσπερον νεῶν.
Ἡμ. Ἔχεις οὖν;
Ἡμ. Πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
Ἡμ. Ἀλλ᾽ οὐδ᾽ ἐμοὶ δὴ τὴν ἀφ᾽ ἡλίου μολὼν
Κέλευθον, ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

## ΠΕΡΙΚΟΜΜΑΤΑ.

### Στροφὴ Α΄.

Χορ. Τίς ἂν δῆμοι, τίς ἂν
Φιλοπόνων ἁλιαδᾶν
Ἔχων ἀΰπνους ἕδρας;
Ἢ τίς ὀλυμπιάδων
Θεῶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν
Ἴδρις, τὸν ὠμόθυμόν γε
Εἴ ποθι πλάζοιτ᾽, ἂν
Προσβλέπων, ἀπύοι;
Σχέτλια γὰρ ἐμοί, τὸν
Μακρῶν πόνων οὐρίῳ
Μὴ πελάσαι δρόμῳ,
Ἀλλ᾽ ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

Σύστη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σύστημα Α'.

Τε. Ἰὼ, ἰώμοι μοι.
Χορ. Τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
Τε. Ἰὼ τλήμων.
Χορ. Τὴν δυσμόρον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
Τε. Οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.
Χορ. Τί δ' ἐστίν;
Τε. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
Κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

Στροφὴ Β'.

Χορ. Ἰώμοι ἐμῶν νόστων.
Ἰώμοι, κατέπεφνες
Ἄναξ τόνδε τὸν συν-
ναύταν. ἰὼ τάλας,
Ἰὼ ταλαίφρον γύναι.

Σύστημα Β'.

Τε. Ὡς ὧδε δ' ἔχοντος, αἰάζειν πάρα.
Χορ. Τίνος ποτ' ἄρ' ἔπραξε χειρὶ δύσμορος;
Τε. Αὐτὸς πρὸς αὐτοῦ δῆλον. ἐν γάρ οἱ χθονὶ
Πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.

Στροφὴ Γ'.

Χορ. Ἰώμοι ἐμᾶς ἄτας.
Οἷος ἄρ' αἱμάχθης,
Ἄφρακτος φίλων.
Ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάν-
τ' ἄϊδρις, κατημέλησα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πᾶ, πᾶ
Κεῖται ὁ δυςράπελος,
Ὁ δυσώνυμος Αἴας;

Σύςημα Γ'.

Τε. Οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
Φάρει καλύψω τῷδε παμπήδῳ, ἐπεὶ
Οὐδεὶς ἂν ὅς τις καὶ φίλος τλαίη βλέπειν
Φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
Πληγῆς, μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
Οἴμοι, τί δράσω; τίς σε βαςάσει φίλων;
Ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,
Πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
Ὦ δύσμορ' Αἴας, οἷος ὤν, οἵως ἔχεις,
Ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

Ἀντιςροφὴ Α'.

Χορ. Ἔμελλες τάλας,
Ἔμελλες χρόνῳ, ςερεόφρον,
Ἆρ' ἐξανύσειν κακὰν
Μοῖραν ἀπειρεσίων
Πόνων. τοῖά μοι
Πάννυχα καὶ φαέθον
τ' ἀνεςέναζες ὠμόφρων
Ἐχθοδόπ' Ἀτρείδαις
Οὐλίῳ σὺν πάθει.
Μέγας ἄρ' ἦν ἐκεῖνος
Ἄρχων χρόνος πημάτων,
Ἦμος ἀριςόχειρ
Ἀχιλλέως ὅπλων ἔκειτ' ἀγὼν πέρι.

Ἀν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Α'ντισύϛημα Α'.

Τε. Γώμοι μοι.
Χορ. Χωρῆ πρὸς ἧπαρ (οἶδα) γθυναία δύη.
Τε. Γώμοι μοι.
Χορ. Οὐδὲν σ' ἀπιϛῶ ᾗ δὶς οἰμῶξαι γύναι,
Τοιῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλυ.
Τε. Σοὶ μὲν δοκεῖν ταῦτ' ἔϛ', ἐμοί δ' ἄγαν φρονεῖν.
Χορ. Ξυναυδῶ.
Τε. Οἴμοι τέκνον, πρὸς οἷα δυλείας ζυγὰ
Χωρῦμεν. οἷοι νῷιν ἐφεϛᾶσι σκοποί.

Α'ντιϛροφὴ Β'.

Χορ. Ὤ'μοι. ἀναλγήτων
Διασῶν ἐθρόησας
Α'ναυδόν γ' Α'τρειδῶν
Ε'ργον τῷ δ' ἄχει.
Α'λλ' ἀπείργοι Θεός.

Α'ντισύϛημα Β'.

Τε. Οὐκ ἂν τάδ' ἔϛη τῇ δε, μὴ Θεῶν μέτα.
Χορ. Α'γαν γ' ὑπερβολθὲς ἄχθος ἤνυσαν.
Τε. Τοιόνδε μέν τοι Ζίωὸς ἡ δεινὴ Θεὸς
Παλλὰς φυτεύει πῆμ' Ο'δυσσέως χάριν.

Α'ντιϛροφὴ Γ'.

Χορ. Ἦ ῥα κελαινώπαν
Θυμὸν ἐφυβρίζει
Ο' πολύτλας ἀνήρ,
Γελᾷ δὲ τοῖς μαινομένοις
Α'χεσιν πολὺν γέλωτα

Φεῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(Φεῦ, φεῦ,)
Ξυώ τε διπλοῖ βασιλῆες
Κλύοντες Ἀτρεῖδαι;

## Ἀντισύστημα Γ'.

Τε. Οἵδ' ἂν γελώντων, κἀπιχαιρόντων κακοῖς
Τοῖς τοῦδ'. ἴσως τοι κεἰ βλέποντα μὴ πόθουν,
Θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
Οἱ γὰρ κακοὶ γνώμαισι, τἀγαθὸν χεροῖν
Ἔχοντες, οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
Ἐμοὶ πικρὸς τέθνηκεν, ἢ κείνοις γλυκὺς,
Αὑτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν,
Ἐκτήσαθ' αὑτῷ θάνατον, ὅνπερ ἤθελεν.
Τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
Θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.

## Ι Α Μ Β Ο Ι.

Χορ. Πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἔστιν, ἀλλ' ἐμοὶ
Λιπὼν ἀνίας, καὶ γόους, διοίχεται.
Τευ. Ἰώμοι μοι.
Χορ. Σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν,
Βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
Τευ. Ὦ φίλτατ' Αἴας, ὦ ξυναίμον ὄμμ' ἐμοὶ,
Ἆρ' ἠμπόληκας ὥσπερ ἡ φάτις κρατεῖ;
Χορ. Ὄλωλεν ἀνὴρ Τεῦκρε, τοῦτ' ἐπίστασο.
Τευ. Ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
Χορ. Ὡς ὧδ' ἐχόντων,
Τευ. Ὢ τάλας ἐγὼ, τάλας.

Χορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χορ. Πάρα στενάζειν. Τεῦ. Ὦ περισπερχὲς πάθος.
Χορ. Ἄγαν γε Τεῦκρε. Τεῦ. Φεῦ τάλας. τί γὰρ τέκνον
Τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;
Χορ. Μόνος παρὰ σκηναῖσιν. Τεῦ. Οὐχ ὅσον τάχος
Δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
Σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
Ἴθ'. ἐγκόνει. σύγκαμνε. Τοῖς θανοῦσί τοι
Φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
Χορ. Καὶ μὴν ἔτι ζῶν Τεῦκρε, τοῦδέ σοι μέλειν
Ἐφίετ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.
Τεῦ. Ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
Ἄλγιστον, ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ.
Ὁδός θ' ὁδῶν ἁπασῶν ἀνιάσασα δὴ
Μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην.
Ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
Μόρον διώκων, κἀξιχνοσκοπούμενος.
Ὀξεῖα γάρ σου βάξις, ὡς Θεοῦ τινος,
Διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχῃ θανών.
Ἁ'γὼ κλύων δύστηνος, ἐκποδὼν μὲν ὤν,
Ὑπεστέναζον. νῦν δ' ὁρῶν, ἀπόλλυμαι.
Οἴμοι.
Ἴθ', ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
Ὦ δυσθέατον ὄμμα, καὶ τόλμης πικρᾶς,
Ὅσας ἀνίας μοι κατασπείρας, φθίνεις.
Ποῖ γὰρ μολεῖν μοι δυνατὸν, εἰς ποίους βροτοὺς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἤ που Τελαμὼν σὸς πατὴρ, ἐμός θ' ἅμα,
Δέξαιτ' ἂν εὐπρόσωπος, ἵλεώς τ' ἴσως
Χωροῦντ' ἄνευ σοῦ; πῶς γὰρ οὐχ; ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι μηδὲν, ἥδιον γελᾶν.
Οὗτος, τί κρύψει; οἷον οὐκ ἐρεῖ κακόν;

Τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
Τὸν δειλίᾳ προδόντα, καὶ ἀνανδρείᾳ
Σὲ φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
Κράτη θανόντος, καὶ δόμους νέμοιμι σούς.
Τοιαῦτ' ἀνὴρ δύσοργος ἐν γήρᾳ βαρὺς
Ἐρεῖ πρὸς οὐδὲν, εἰς ἔριν θυμούμενος.
Τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
Δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
Τοιαῦτα μὲν κατ' οἶκον. ἐν Τροίᾳ δέ μοι,
Πολλοὶ μὲν ἐχθροὶ, παῦροι δ' ὠφελήσιμοι.
Καὶ ταῦτα πάντα, σοῦ θανόντος, εὑρόμην.
Οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
Τοῦδ' αἰόλου κνώδοντος (ὦ τάλας) ὑφ' οὗ
Φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
Ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;
Σκέψασθε πρὸς θεῶν τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
Ζωστῆρι πρισθεὶς, ἱππικῶν ἐξ ἀντύγων
Ἐγνάπτετ' αἰὲν, ἕς τ' ἀπέψυξεν βίον.
Οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
Πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
Ἆρ' οὐκ Ἐριννὺς τοῦτ' ἐχάλκευσε ξίφος,
Κἀκεῖνον ᾅδης δημιουργὸς ἄγριος;
Ἐγὼ μὲν οὖν καὶ ταῦτα, καὶ τὰ πάντ' ἀεὶ
Φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς.
Ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
Κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε.
Χορ. Μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψῃς τάφῳ
Φράζου τὸν ἄνδρα, χ' ὅ, τι μυθήσῃ τάχα.
Βλέπω γὰρ ἐχθρὸν φῶτα. καὶ τάχ' ἂν κακοῖς
Γελῶν, ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

Τεῦ. Τίς δ' ἐστὶν ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;
Χορ. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
Τεῦ. Ὁρῶ. μαθεῖν γὰρ ἐγγὺς ὢν, οὐ δυσπετής.
Μεν. Οὗτος, σὲ φωνῶ, τὸν δὲ τὸν νεκρὸν χεροῖν
Μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.
Τεῦ. Τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;
Μεν. Δοκοῦντ' ἐμοὶ, δοκοῦντα δ', ὃς κραίνει στρατοῦ.
Τεῦ. Οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;
Μεν. Ὅθ' οὕνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
Ἄξειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
Ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν.
Ὅς τις στρατῷ ξύμπαντι βουλεύσας φόνον,
Νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δορί.
Κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
Ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην
Θανόντες ἂν, προὐκείμεθ' αἰσχίστῳ μόρῳ,
Οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς
Τὴν τοῦδ' ὕβριν, πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
Ὧν οὕνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
Τοσοῦτον, ὥστε σῶμα τυμβεῦσαι τάφῳ.
Ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος,
Ὄρνισι φορβὴ παραλίοις γενήσεται.
Πρὸς ταῦτα, μηδὲν δεινὸν ἐξάρῃς μένος.
Εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
Πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,
Χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ' ὅπου
Λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν
Καίτοι κακοῦ πρὸς ἀνδρὸς, ἄνδρα δημότην
Μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
Οὐ γὰρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
Φέροιντ' ἂν, ἔνθα μὴ καθεστήκει δέος,

Οὔτ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,
Μηδὲν φόβου πρόβλημα, μήδ' αἰδοῦς ἔχων.
Ἀλλ' ἄνδρα χρὴ, κἂν σῶμα γεννήσῃ μέγα,
Δοκεῖν πεσεῖν ἂν, κἂν ἀπὸ σμικροῦ κακοῦ.
Δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ' ὁμοῦ,
Σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο.
Ὅπου δ' ὑβρίζειν, δρᾶν θ' ἃ βούλεται παρᾷ,
Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
Ἐξ οὐρίων δραμοῦσαν, εἰς βυθὸν πεσεῖν.
Ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
Καὶ μὴ δοκῶμεν δρῶντες, ἂν ἡδώμεθα,
Οὐκ ἀντιτίσειν αὖθις, ἂν λυπώμεθα.
Ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
Αἴθων ὑβριστὴς, νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
Καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
Μὴ τόνδε θάπτων, αὐτὸς εἰς ταφὰς πέσῃς.
Χορ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς,
Εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
Τευ. Οὐκ ἄν ποτ' ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
Ὃς μηδὲν ὢν γοναῖσιν, εἶθ' ἁμαρτάνει,
Ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι,
Τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
Ἄγ', εἴπ' ἀπ' ἀρχῆς αὖθις. ἦ σὺ φῂς ἄγειν
Τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
Οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
Ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δέ σοι λεῶν
Ἔξεστ' ἀνάσσειν, ὧν ὅδ' ἤγετ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
Οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
Ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδε σέ.
Ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας. οὐχ ὅλων

Σ

Στρατηγὸς, ὥς τ᾽ Αἴαντος ἡγεῖσθαί ποτε.
Ἀλλ᾽ ὧν περ ἄρχεις, ἄρχε, καὶ τὰ σέμν᾽ ἔπη
Κόλαζ᾽ ἐκείνους, τόνδε δ᾽, εἴτε μὴ σὺ φῂς,
Εἴθ᾽ ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
Θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
Οὐ γάρ τι τῆς σῆς οὕνεκ᾽ ἐστρατεύσατο
Γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
Ἀλλ᾽ οὕνεχ᾽ ὅρκων, οἷσιν ἦν ἐπώμοτος,
Σοῦ δ᾽ οὐδέν. οὐ γὰρ ἠξίου τοὺς μηδένας.
Πρὸς ταῦτα, πλείους δεῦρο κήρυκας λαβὼν,
Καὶ τὸν στρατηγὸν, ἧκε. τοῦ δὲ σοῦ ψόφου,
Οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷόσπερ εἶ.
Με. Οὐδ᾽ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
Τεῦ. Τὰ σκληρὰ γάρ τοι κἂν ὑπέρδικ᾽ ᾖ, δάκνει.
Με. Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.
Τεῦ. Οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
Με. Μέγ᾽ ἄν τι κομπάσειας, ἀσπίδ᾽ εἰ λάβοις.
Τεῦ. Κἂν ψιλὸς, ἀρκέσαιμι σοίγ᾽ ὡπλισμένῳ.
Με. Ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
Τεῦ. Ξὺν τῷ δικαίῳ γὰρ μέγ᾽ ἔξεστι φρονεῖν.
Με. Δίκαια γὰρ τόνδ᾽ εὐτυχεῖν κτείναντά με;
Τεῦ. Κτείναντα; δεινόν γ᾽ εἶπας, εἰ καὶ ζῇς θανών.
Με. Θεὸς γὰρ ἐκσώζει με, τῷδε δ᾽ οἴχομαι.
Τεῦ. Μή νυν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.
Με. Ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
Τεῦ. Εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
Με. Τούς γ᾽ αὐτὸς αὑτοῦ πολεμίους, οὐ γὰρ καλόν.
Τεῦ. Ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
Με. Μισοῦντ᾽ ἐμίσει. καὶ σὺ τοῦτ᾽ ἠπίστασο.
Τεῦ. Κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.
Με. Ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοὶ τόδ᾽ ἐσφάλη.

Τευ. Πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.
Με. Τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
Τευ. Οὐ μᾶλλον ὡς ἔοικεν, ἢ λυπήσομεν.
Με. Ἕν σοι φράσω, τὸν δ' ἐστὶν οὐχὶ θαπτέον.
Τευ. Σὺ δ' ἀντακούσῃ τοῦτο, ὡς τεθάψεται.
Με. Ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν,
Ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
Ὧ φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίκ' ἐν κακῷ
Χειμῶνος εἴχετ'. ἀλλ' ὑφ' εἵματος κρυφεὶς,
Πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
Οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα,
Σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
Χειμὼν, κατασβέσειε τὴν πολλὴν βοήν.
Τευ. Ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέον,
Ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
Κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ,
Ὀργήν θ' ὅμοιος, εἶπε τοιοῦτον λόγον,
Ὦ 'νθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς.
Εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
Τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
Ὁρῶ δέ τοι νιν, κᾆστιν, ὡς ἐμοὶ δοκεῖ,
Οὐδείς ποτ' ἄλλος, ἢ σύ. μῶν ᾐνιξάμην;
Με. Ἄπειμι. καὶ γὰρ αἰσχρὸν εἰ πύθοιτό τις
Λόγοις κολάζειν, ᾧ βιάζεσθαι πάρα.
Τευ. Ἄφερπε νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
Ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Χορ. Ἔσται μεγάλης ἔριδός τις ἀγών.
Ἀλλ' ὡς δύνασαι Τεῦκρε, ταχύνας

Σπεῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
Τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
Τάφον εὐρώεντα καθέξει.

## ΙΑΜΒΟΙ.

Τεύ. Καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
Πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε, καὶ γυνή,
Τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
Ὦ παῖ, πρόσελθε δεῦρο. καὶ σταθεὶς πέλας
Ἱκέτης ἔφαψαι πατρὸς, ὅς σ' ἐγείνατο.
Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων
Κόμας ἐμὰς, καὶ τῆσδε, καὶ σαυτοῦ τρίτου,
Ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
Βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
Κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
Γένους ἅπαντος ῥίζαν ἐξημημένος
Αὔτως, ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
Ἔχ' αὐτὸν ὦ παῖ, καὶ φύλασσε. μηδέ σε
Κινησάτω τις, ἀλλὰ προσπεσὼν, ἔχου.
Ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
Παρέστατ', ἀλλ' ἀρήγετ', ἔς τ' ἐγὼ μόλω,
Τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

### Στροφὴ Α'.

Χορ. Τίς ἄρα νέατος ἐς πότε λήξει
Πολυπλάγκτων ἐτέων ἀριθμὸς,
Τὰν ἄπαυστον γ' αἰὲν ἐμοὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δορυσσόντων μόχθων
Ἄταν ἐπάγων
Ἀνὰ τὰν εὐρώδη Τροίαν,
Δύστανον ὄνειδος Ἑλλάνων;

Ἀντιστροφὴ Α΄.

Ὄφελε πρότερον αἰθέρα δῦναι
Μέγαν, ἢ τὸν πολύκοινον ᾅδαν
Κεῖνος ἀνὴρ, ὃς στυγερῶν
Ἔδειξ' ὅπλων Ἕλλα-
σι κοινὸν ἄρην.
Ὦ πόνοι πρόγονοι πόνων.
Κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

Στροφὴ Β΄.

Κεῖνος οὔτε στεφάνων,
Οὔτε βαθειᾶν κυλίκων
Νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
Οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
Δύσμορος, οὔτ' ἐννυχίαν
Τέρψιν ἰαύειν ἐρώτων.
Ἐρώτων δ' ἀπέπαυσεν, ὤμοι,
Κεῖμαι δ' ἀμέριμνος οὕτως,
Ἀεὶ πυκιναῖς δρόσοις
Τεγγόμενος κόμας λυγραῖς,
Μνήματα Τροίας.

Ἀντιστροφὴ Β΄.

Πρὶν μὲν οὖν ἐννυχίου
Δείματος ἦν μοι προβολὰ

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ βελέων θέρειος Αἴας.
Νῦν δ' οὗτος αὖ εἶται στυγερῷ
Δαίμονι. τίς μοι, τίς ἔτ' ὖν
Τέρψις ἐπέσαι; γενοίμαν
Ἵν' ὑλᾶεν ἔπεστι πόντῳ
Πρόβλημ' ἁλίκλυστον, ἄκραν
Ὑπὸ πλάκα Σουνίου,
Τὰς ἱερὰς ὅπως προσεί-
ποιμεν Ἀθάνας.

## ΙΑΜΒΟΙ.

Τεῦ. Καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον.
Δῆλός δέ μοι 'στὶ σκαιὸν ἐκλύσων στόμα.
Ἀγ. Σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλουσί μοι
Τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτεὶ χανεῖν;
Σέ τοι τὸν ἐκ τῆς αἰχμαλώτιδος λέγω.
Ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο,
Ὑψήλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις,
Ὅτ' οὐδὲν ὢν, τοῦ μηδὲν ἀντέστης ὕπερ,
Κοὔτε στρατηγοὺς, οὔτε ναυάρχους μολεῖν
Ἡμᾶς Ἀχαιῶν, οὔτε σοῦ, διωμόσω,
Ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
Ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
Ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
Ποῖ βάντος; ἢ ποῦ στάντος, οὗπερ οὐκ ἐγώ;
Οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε;
Πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
Ἀγῶνας Ἀργείοισι κηρύξαι τότε,
Εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοί.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
Εἴκειν, ἃ τοῖς πολλοῖσιν ἤρεσκε κριταῖς,
Ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που,
Ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι;
Ἐκ τῶνδε μέντοι τῶν τρόπων, οὐκ ἄν ποτε
Κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
Εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν,
Καὶ τοὺς ὄπισθεν, εἰς τὸ πρόσθεν ἄξομεν.
Ἀλλ' εἰρκτέον τάδ' ἐστίν. Οὐ γὰρ οἱ πλατεῖς
Οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
Ἀλλ' οἱ φρονοῦντες εὖ, κρατοῦσι πανταχοῦ.
Μέγας δὲ πλευρὰς βοῦς, ὑπὸ σμικρᾶς ὅμως
Μάστιγος, ὀρθὸς εἰς ὁδὸν πορεύεται.
Καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
Ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσῃ τινά.
Ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
Θαρσῶν ὑβρίζεις, κἀξελευθεροστομεῖς.
Οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,
Ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
Ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
Σοῦ γὰρ λέγοντος, οὐκέτ' ἂν μάθοιμ' ἐγώ.
Τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

Χορ. Εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
Τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.

Τευ. Φεῦ. τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
Χάρις διαῤῥεῖ, καὶ προδοῦσ' ἁλίσκεται.
Εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν πόνων,
Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
Τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορί.
Ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
Ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη,

Οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ μνημονεύεις οὐκέτ᾽ οὐδὲν, ἡνίκα
Ἑρκέων ποθ᾽ ὑμᾶς οὗτος ἐγκεκλεισμένους,
Ἤδη τὸ μηδὲν ὄντας ἐν τροπῇ δορὸς
Ἐῤῥύσατ᾽ ἐλθὼν μοῦνος; ἀμφὶ μὲν νεῶν
Ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
Πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη,
Πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ,
Τίς ταῦτ᾽ ἀπεῖρξεν; οὐχ ὅδ᾽ ἦν ὁ δρῶν τάδε,
Ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδί;
Ἆρ᾽ ὑμὶν οὗτος ταῦτ᾽ ἔδρασεν ἔνδικα;
Χὤτ᾽ αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
Λαχών τε, κἀκέλευστος ἦλθ᾽ ἐναντίος;
Οὐ δραπέτην τὸν κλῆρον εἰς μέσον καθεὶς
Ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ᾽ ὃς εὐλόφου
Κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν.
Ὅδ᾽ ἦν ὁ πράσσων ταῦτα. σὺν δ᾽ ἐγὼ παρὼν
Ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
Δύστηνε, ποῖ βλέπων ποτ᾽ αὐτὰ καὶ θροεῖς;
Οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ,
Ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ᾽, ὃς αὖ σ᾽ ἔσπειρε δυσσεβέστατον,
Προθέντ᾽ ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
Αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ᾽ ᾗ
Λαβὼν ἐπακτὸν ἄνδρ᾽ ὁ φυτεύσας πατὴρ,
Ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν;
Τοιοῦτος ὤν, τοιῷδ᾽ ὀνειδίζεις σποράν;
Ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς.
Ὅστις στρατοῦ τὰ πρῶτ᾽ ἀριστεύσας, ἐμὴν
Ἴσχει ξυνευνον μητέρ᾽, ἣ φύσει μὲν ἦν
Βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
Δώρημα κείνῳ δῶκεν Ἀλκμήνης τόκος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
Βλαστὼν, ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;
Οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους
Ὠθεῖς ἀθάπτους, οὐδ' ἐπαισχύνῃ λέγων;
Εὖ νυν τόδ' ἴσθι. τοῦτον εἰ βαλεῖτέ που,
Βαλεῖτε χ' ἡμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
Ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ
Θανεῖν προδήλως μᾶλλον, ἢ τῆς σῆς ὕπερ
Γυναικὸς, ἢ τοῦ σοῦ θ' ὁμαίμονος λέγω.
Πρὸς ταῦθ', ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν.
Ὡς εἴ με πημανεῖς τι, βουλήσῃ ποτὲ
Καὶ δειλὸς εἶναι μᾶλλον, ἢ 'ν ἐμοὶ θρασύς.
Χορ. Ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθὼς,
Εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
Ὀδ. Τί δ' ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
Βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.
Ἀγ. Οὐ γὰρ κλύοντες ἐσμὲν αἰσχίστους λόγους,
Ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
Ὀδ. Ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
Κλύοντι φλαῦρα, συμβαλεῖν ἔπη κακά.
Ἀγ. Ἤκουσεν αἰσχρά. δρῶν γὰρ ἦν τοιαῦτά με.
Ὀδ. Τί γάρ σ' ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
Ἀγ. Οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
Ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
Ὀδ. Ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ,
Σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν;
Ἀγ. Εἴπ'. ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
Φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
Ὀδ. Ἄκουέ νυν, τὸν ἄνδρα τόνδε πρὸς θεῶν
Μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν.
Μηδ' ἡ βία σε μηδαμῶς νικησάτω

T

Τοσόνδε μισεῖν, ὥστε τὴν δίκην πατεῖν.
Κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ,
Ἐξ οὗ κράτησα τῶν Ἀχιλλείων ὅπλων.
Ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ,
Οὔκουν ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν,
Ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
Ὥς τ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι.
Οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
Φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
Βλάπτειν τὸν ἐσθλὸν, οὐδ' ἐὰν μισῶν κυρῇς.
Ἀγ. Σὺ ταῦτ' Ὀδυσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί.
Ὀδ. Ἔγωγ'. ἐμίσουν δ', ἡνίκ' ἦν μισεῖν καλόν.
Ἀγ. Οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
Ὀδ. Μὴ χαῖρ' Ἀτρείδη κέρδεσιν τοῖς μὴ καλοῖς.
Ἀγ. Τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
Ὀδ. Ἀλλ' εὖ λέγουσι τοῖς φίλοις, τιμὰς νέμειν.
Ἀγ. Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐντέλει.
Ὀδ. Παῦσαι. κρατεῖς τοι τῶν φίλων νικώμενος.
Ἀγ. Μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως;
Ὀδ. Ὅδ' ἐχθρὸς ἀνὴρ, ἀλλὰ γενναῖός ποτ' ἦν.
Ἀγ. Τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδῇ νέκυν;
Ὀδ. Νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ.
Ἀγ. Τοιοίδε μέντοι φῶτες ἔκπληκτοι βροτῶν.
Ὀδ. Ἦ κάρτα πολλοὶ νῦν φίλοι, καὖθις πικροί.
Ἀγ. Τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
Ὀδ. Σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
Ἀγ. Ἡμᾶς σὺ δειλοὺς τῇδε θ' ἡμέρᾳ φανεῖς.
Ὀδ. Ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
Ἀγ. Ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
Ὀδ. Ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγ. Ἦ πάνθ' ὅμοια πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
Ὀδ. Τῷ γάρ με μᾶλλον εἰκὸς, ἢ 'μαυτῷ πονεῖν;
Ἀγ. Σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
Ὀδ. Ὡς ἂν ποιήσῃς, πανταχοῦ χρηστός γ' ἔσῃ.
Ἀγ. Ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
Σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν.
Οὗτος δὲ κἀκεῖ, κἀνθάδ' ὢν, ἔμοιγ' ὅμως
Ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρή.
Χορ. Ὅστις σ' Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν,
Φῦναι τοιοῦτον ὄντα, μωρός ἐστ' ἀνήρ.
Ὀδ. Καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
Ὅσον τότ' ἐχθρὸς ἦ, τοσόνδ' εἶναι φίλος.
Καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
Καὶ ξυμπονεῖν, καὶ μηδὲν ἐλλείπειν, ὅσον
Χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
Τεύ. Ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
Λόγοισι, καί μ' ἔψευσας ἐλπίδος πολύ.
Τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ,
Μόνος παρέστης χερσίν. οὐδ' ἔτλης παρὼν,
Θανόντι τῷδε, ζῶν ἐφυβρίσαι μέγα.
Ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
Αὐτός τε, χ' ὡ ξύναιμος, ἠθελησάτην
Λωβητὸν αὐτὸν ἐκβαλεῖν, ταφῆς ἄτερ.
Τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ,
Μνήμων τ' Ἐριννὺς, καὶ τελεσφόρος δίκη,
Κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
Τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
Σὲ δ' ὦ γεραιοῦ σπέρμα Λαερτίου πατρὸς,
Τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
Μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ.
Τὰ δ' ἄλλα, καὶ ξύμπραττε. κεἴ τινα στρατοῦ

Θέ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
Ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ. σὺ δὲ
Ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν, ἐπίστασο.
Ὀδ. Ἀλλ' ἤθελον μὲν, εἰ δὲ μή 'στί σοι φίλον
Πράσσειν τάδ' ἡμᾶς, εἶμ', ἐπαινέσας τὸ σόν.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Τεύ. Ἅλις. ἤδη γὰρ πολὺς ἐκτέταται
Χρόνος. ἀλλ' οἱ μὲν, κοίλην κάπετον
Χερσὶ ταχύνετε. τοὶ δ' ὑψίβατον
Τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
Θέσθ' ἐπίκαιρον. μία δ' ἐκ κλισίας
Ἀνδρῶν ἴλη, τὸν ὑπασπίδιον
Κόσμον φερέτω.
Παῖ, σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
Φιλότητι θίγων, πλευρὰς σὺν ἐμοὶ
Τάς δ' ἐπικούφιζ'. ἔτι γὰρ θερμαὶ
Σύριγγες ἄνω φυσῶσι μέλαν
Μένος, ἀλλ' ἄγε πᾶς φίλος ὅς τις ἀνὴρ
Φησὶ παρεῖναι, σούσθω, βάτω,
Τῷ δ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ,
Κοὐδενί πω λῴονι θνητῶν
Αἴαντος. ὅτ' ἦν, τότε φωνῶ.
Χορ. Ἦ πολλὰ βροτοῖς ἐστὶν ἰδοῦσι
Γνῶναι. πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις
Τῶν μελλόντων ὅ,τι πράξει.

ΥΠΟ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΥΠΟΘΕΣΙΣ

## ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ,

### Προμηθέως Δεσμώτου.

ΠΡομηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ, πυνθάνεται Ἰὼ πλανωμένη, ὅτι κατ' Αἴγυπτον γενομένη, ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον· Ἑρμῆς δὲ παράγεται, ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διΐ. προέλεγε γὰρ ὁ Προμηθεὺς, ὡς ἐξωθήσεται ὁ Ζεὺς τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. τέλος δὲ, βροντῆς γενομένης, ἀφανὴς ὁ Προμηθεὺς γίνεται. Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος. ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστὶ, Προμηθέως δέσις. Ἰστέον δὲ, ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔξεστι συμβαλεῖν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΙΣΧΥΛΟΥ

## ΤΡΑΓΩΔΙΑ

## ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

### ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ.

### ΠΡΟΣΩΠΑ.

ΚΡΑΤΟΣ καὶ ΒΙΑ.
ΗΦΑΙΣΤΟΣ.
ΠΡΟΜΗΘΕΥΣ.
ΩΚΕΑΝΟΣ.
ΧΟΡΟΣ Ὠκεανίδων Νυμφῶν.
ΙΩ ἡ Ἰνάχου.
ΕΡΜΗΣ.

Προλογίζουσι δὲ Κράτος καὶ Βία.

### ΙΑΜΒΟΙ.

Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν,
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς,
Ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι,
Ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις.
Τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,

Θνη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θνητοῖσι κλέψας ὤπασεν. τοιᾶς δέ τοι
Ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην.
Ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
Στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.
Ἥφ. Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
Ἔχει τέλος δὴ, κοὐδὲν ἐμποδὼν ἔτι.
Ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν,
Δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
Πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχέθειν.
Ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
Τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
Ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι
Προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
Ἵν' οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν
Ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ,
Χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
Ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος.
Πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν.
Ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
Τρύσει σ'. ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
Τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.
Θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον,
Βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
Ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
Ὀρθοστάδην, ἄυπνος, οὐ κάμπτων γόνυ.
Πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
Φθέγξῃ. Διὸς γὰρ δυσπαραίτητοι φρένες·
Ἅπας δὲ τραχὺς, ὅστις ἂν νέον κρατῇ.
Κρ. Εἶεν. τί μέλλεις, καὶ κατοικτίζῃ μάτην;
Τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεὸν,
Ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;

Ἥφ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἥφ. Τὸ συγγενές τοι δεινὸν ἥ θ' ὁμιλία.
Κρ. Σύμφημ'. ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
Οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
Ἥφ. Αἰεί τε δὴ νηλὴς σὺ, καὶ θράσους πλέως.
Κρ. Ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι. σὺ δὲ
Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Ἥφ. Ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
Κρ. Τί νιν στυγεῖς; πόνων γὰρ, ὡς ἁπλῷ λόγῳ,
Τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.
Ἥφ. Ἔμπας τὶς αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
Κρ. Ἅπαντ' ἐπράχθη, πλὴν θεοῖσι κοιρανεῖν.
Ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.
Ἥφ. Ἔγνωκα, τοῖσδε κ' οὐδὲν ἀντειπεῖν ἔχω.
Κρ. Οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν,
Ὥς μή σ' ἐλινύοντα προσδέρχθῃ πατήρ;
Ἥφ. Καὶ δὴ πρόχειρα ψέλια δέρκεσθαι πάρα.
Κρ. Λαβὼν νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
Ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
Ἥφ. Περαίνεται δὴ, κ' οὐ ματᾷ τοὔργον τόδε.
Κρ. Ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα.
Δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρον.
Ἥφ. Ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
Κρ. Καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς· ἵνα
Μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.
Ἥφ. Πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
Κρ. Ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
Στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.
Ἥφ. Αἲ αἲ Προμηθεῦ, σῶν ὑπερστένω πόνων.
Κρ. Σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὕπερ
Στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ.
Ἥφ. Ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν;



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Κρ. Ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
Ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
Ἥφ. Δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν.
Κρ. Ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρός.
Χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.
Ἥφ. Καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.
Κρ. Ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας.
Ὡς οὑπιτιμητής γε τῶν ἔργων βαρύς.
Ἥφ. Ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.
Κρ. Σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
Ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.
Ἥφ. Στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.
Κρ. Ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα
Συλῶν, ἐφημέροισι προστίθει. τί σοι
Οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
Ψευδωνύμως σε δαίμονες Προμηθέα
Καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθέως
Ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσῃ τύχης.
Πρ. Ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαὶ,
Ποταμῶν τε πηγαὶ, ποντίων τε κυμάτων
Ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
Καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ.
Ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Δέρχθηθ' οἵαις αἰκίαισι
Διακναιόμενος τὸν μυριετῆ
Χρόνον ἀθλεύσω τοιόνδ' ὁ νέος
Ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ
Δεσμὸν ἀεικῆ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἶ αἶ τὸ παρὸν,
Τό, τ᾽ ἐπερχόμενον
Πῆμα σενάχω· πῆ ποτε μόχθων
Χρὴ τέρματα τῶν δ᾽ ἐπιτεῖλαι.

## ΙΑΜΒΟΙ.

Καίτοι τί φημι; πάντα προὐξεπίςαμαι
Σκεθρῶς τὰ μέλλοντ᾽. οὐδέ μοι ποταίνιον
Πῆμ᾽ οὐδὲν ἥξει· τὴν πεπρωμένην δὲ χρὴ
Αἶσαν φέρειν ὡς ῥᾶςα, γινώσκονθ᾽ ὅτι
Τὸ τῆς ἀνάγκης ἐς᾽ ἀδήριτον σθένος.
Ἀλλ᾽ οὔτε σιγᾷν, οὔτε μὴ σιγᾷν τύχας
Οἷόντέ μοι τάςδ᾽ ἐςί. θνητοῖς γὰρ γέρα
Πορὼν, ἀνάγκαις ταῖςδ᾽ ὑπέζευγμαι τάλας
Ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
Πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
Πάσης βροτοῖς πέφυκε, καὶ μέγας πόρος.
Τοιάςδε ποινὰς ἀμπλακημάτων τίνω,
Ὑπαίθριος δεσμοῖσι πασσαλευτὸς ὤν.
Ἆ ἆ, ἔα ἔα.
Τίς ἀχὼ, τίς ὀδμὰ προσέπτα μ᾽ ἀφεγγής;
Θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
Ἵκετο τερμόνιον ἐπὶ πάγον,
Πόνων ἐμῶν θεωρὸς, ἢ τί δὴ θέλων;
Ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Τὸν Διὸς ἐχθρὸν, τὸν πᾶσι θεοῖς
Δι᾽ ἀπεχθείας ἐλθόνθ᾽, ὁπόσοι
Τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσι,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Διὰ τὴν λίαν φιλότητα βροτῶν.
Φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω.
Πέλας οἰωνῶν; αἰθὴρ δ' ἐλαφραῖς
Πτερύγων ῥιπαῖς ὑποσυρίζει;
Πᾶν μοι φοβερὸν τὸ προσέρπον.

## ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Χορ. Στροφὴ Α'.

Μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις,
Πτερύγων θοαῖς ἁμίλλαις
Προσέβα τόνδε πάγον, πατρῴας
Μόγις παρειποῦσα φρένας.
Κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι·
Κτύπου γὰρ ἀχὼ χάλυβος διῆξεν ἄντρων μυχὸν,
Ἐκ δ' ἔπληξέ μου τὰν θερμερῶπιν αἰδῶ·
Σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Πρ. Αἶ αἶ αἶ, τῆς πολυτέκνου Τηθύος ἔκγονα,
Τοῦ περί πᾶσάν θ' εἱλισσομένου
Χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες
Πατρὸς Ὠκεανοῦ. δέρχθητ', ἐσίδεσθ'
Οἵῳ δεσμῷ προσπορπατὸς,
Τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
Φρουρὰν ἄζηλον ὀχήσω.

Ἀντιστροφὴ Α'.

Χορ. Λεύσσω Προμηθεῦ· φοβερὰ δ' ἐμοῖσιν ὄσσοις
Ὁμίχλη προσῇξε πλήρης
Δακρύων, σὸν δέμας εἰσιδούσῃ

Πέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πέτραις προσαυαινόμενον
Ταῖς δ' ἀδαμαντοδέτοισι λύμαις.
Νέοι γὰρ οἰακονόμοι κρατοῦσ' ὀλύμπου.
Νεοχμοῖς δὲ νόμοις Ζεὺς ἀθέσμως κρατύνει,
Τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Εἰ γάρ μ' ὑπὸ γῆν, νέρθεν τ' ἀΐδου
Τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
Τάρταρον ἧκεν, δεσμοῖς ἀλύτοις
Ἀγρίως πελάσας, ὡς μήτε θεός,
Μήτε τις ἄλλος τοῖς δ' ἐπεγήθη.
Νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας
Ἐχθροῖς ἐπίχαρτα πέπονθα.

### Στροφὴ Β'.

Τίς ὧδε τλησικάρδιος
Θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ;
Τίς οὐ ξυνασχαλᾷ κακοῖς
Τεοῖσι, δίχα γε Διός; ὁ δ' ἐπικότως ἀεὶ
Θέμενος ἄγναμπτον νόον,
Δάμναται οὐρανίαν γένναν.
Οὐδὲ λήξει, πρὶν ἂν ἢ κορέσῃ κέαρ,
Ἢ παλάμᾳ τινὶ τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κρατεραῖς
Ἐν γυιοπέδαις αἰκιζομένου,
Χρείαν ἕξει μακάρων πρύτανις,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δεῖξαι τὸ νέον βέλευμ᾽ ὑφ᾽ ὅτε
Σκῆπτρον τιμάς τ᾽ ἀποσυλᾶται.
Καίτοι μ᾽ ἐ μελιγλώσσοις πειθοῦς
Ἐπαοιδαῖσι θέλξει, στερεάς τ᾽
Οὔποτ᾽ ἀπειλὰς πτήξας, τόδ᾽ ἐγὼ
Καταμηνύσω, πρὶν ἂν ἐξ ἀγρίων
Δεσμῶν χαλάσῃ, ποινάς τε μοι τίνειν
Τῆς δ᾽ αἰκίας ἐθελήσῃ.

Ἀντιστροφὴ Β'.

Χορ. Σὺ μὲν θρασύς τε καὶ πικραῖς
Δύαισιν ἐδὲν ἐπιχαλᾷς,
Ἄγαν δ᾽ ἐλευθεροστομεῖς.
Ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος·
Δέδια γὰρ ἀμφὶ σαῖς τύχαις,
Πᾶ ποτε τῶνδε πόνων χρή σε
Τέρμα κέλσαντ᾽ ἐσιδεῖν. ἀκίχητα γὰρ
Ἤθεα, καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνε παῖς.

ΑΝΑΠΑΙΣΤΟΙ.

Πρ. Οἶδ᾽ ὅτι τραχύς τε καὶ παρ᾽ ἑαυτῷ
Τὸ δίκαιον ἔχων Ζεύς. ἀλλ᾽ ἔμπας, οἴω
Μαλακογνώμων
Ἔσαι ποθ᾽, ὅταν ταύτῃ ῥαισθῇ·
Τὴν δ᾽ ἀτέραμνον στορέσας ὀργὴν,
Εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
Σπεύδων σπεύδοντι ποθ᾽ ἥξει.

ΙΑΜΒΟΙ.

Χορ. Πάντ᾽ ἐκκάλυψον καὶ γέγων᾽ ἡμῖν λόγον.

Ποίῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι,
Οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
Δίδαξον ἡμᾶς εἴ τι μὴ βλάπτῃ λόγῳ·
Πρ. Ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
Ἄλγος δὲ σιγᾶν, πανταχῆ δὲ δύσποτμα,
Ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου,
Στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
Οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
Ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
Σπεύδοντες ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν.
Ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων, πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
Οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
Ἀτιμάσαντες καρτεροῖς φρονήμασιν,
Ὤοντ' ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν·
Ἐμοὶ καὶ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις,
Καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
Τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει,
Ὡς οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν
Χρεί' ἦ, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν.
Τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου,
Οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
Κράτιστα δή μοι τῶν παρεστώτων τότε
Ἐφαίνετ' εἶναι, προσλαβόντι μητέρα,
Ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
Ἐμαῖς δὲ βουλαῖς, ταρτάρου μελαμβαθὴς
Κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον,
Αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
Ὁ τῶν θεῶν τύραννος ὠφελημένος,
Κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο.
Ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
Ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
Αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
Ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
Καθέζετ', εὐθὺς δαίμοσιν νέμειν γέρα
Ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
Ἀρχήν. βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
Οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀϊστώσας γένος
Τὸ πᾶν, ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
Καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
Ἐγὼ δὲ τολμῆς ἐξερυσάμην βροτοὺς
Τοῦ μὴ διαρραισθέντας εἰς ᾅδου μολεῖν.
Τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
Πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν.
Θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
Οὐκ ἠξιώθην αὐτὸς, ἀλλ' ἀνηλεῶς
Ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.

Χορ. Σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος
Ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
Μόχθοις. ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
Ἔχρῃζον, εἰσιδοῦσά τ' ἀλγύνθην κέαρ.

Πρ. Καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγώ.

Χορ. Μή μου τι προὔβης τῶνδε καὶ περαιτέρω;

Πρ. Θνητούς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.

Χορ. Τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;

Πρ. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.

Χορ. Μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.

Πρ. Πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.

Χορ. Καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;

Πρ. Ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.

Χορ. Τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰκίζεταί τε, κ᾽ οὐδαμῆ χαλᾷ κακῶν;
Οὐδ᾽ ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
Οὐκ ἄλλο γ᾽ οὐδὲν, πλὴν ὅταν κείνῳ δοκῇ.
Δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
Ἥμαρτες; ὡς δ᾽ ἥμαρτες, οὔτ᾽ ἐμοὶ λέγειν
Καθ᾽ ἡδονὴν, σοί τ᾽ ἄλγος. ἀλλὰ ταῦτα μὲν
Μεθῶμεν, ἄθλων δ᾽ ἔκλυσιν ζήτει τινά.
Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα
Ἔχει, παραινεῖν, νουθετεῖν τε τοὺς κακῶς
Πράσσοντας. ἐγὼ δὲ ταῦθ᾽ ἅπαντ᾽ ἠπιστάμην.
Ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
Θνητοῖς δ᾽ ἀρήγων, αὐτὸς ηὑρόμην πόνους.
Οὐ μήν τι ποιναῖς γ᾽ ᾠόμην τοιαῖσί με
Κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
Τυχόντ᾽ ἐρήμου τοῦ δ᾽ ἀγείτονος πάγου.
Καί μοι τὰ μὲν παρόντα μὴ 'δύρεσθ᾽ ἄχη,
Πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
Ἀκούσαθ᾽, ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
Πείθεσθέ μοι πείθεσθε, συμπονήσατε
Τῷ νῦν μογοῦντι. ταυτά τοι πλανωμένη
Πρὸς ἄλλοτ᾽ ἄλλον πημονὴ προσιζάνει.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Οὐκ ἀκούσαις ἐπεθώϋξας
Τοῦτο Προμηθεῦ,
Καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσσυτον
Θῶκον προλιποῦσ᾽, αἰθέρα θ᾽ ἁγνὸν
Πόρον οἰωνῶν, ὀκρυοέσσῃ
Χθονὶ τῇδε πελῶ. τοὺς σοὺς δὲ πόνους
Χρῄζω διαπαντὸς ἀκοῦσαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἥκω δολιχῆς τέρμα κελεύθου
Διαμειψάμενος πρός με Προμηθεῦ,
Τὸν πτερυγωκῆ τόν δ' οἰωνὸν
Γνώμῃ στομίων ἄτερ εὐθυνῶν·
Ταῖς σαῖς δὲ τύχαις, ἴσθι, ξυναλγῶ.
Τό, τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
Ἐσαναγκάζει, χωρίς τε γένους,
Οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
Νείμαιμ', ἢ σοί.
Γνώσῃ δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
Χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
Σήμαιν' ὅ,τι χρή σοι συμπράττειν.
Οὐ γάρ ποτ' ἐρεῖς, ὡς Ὠκεανοῦ
Φίλος ἐστὶ βεβαιότερός σοι.

## Ι Α Μ Β Ο Ι.

Πρ. Ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
Ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
Ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
Αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτρα
Ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
Ἐμὰς ἀφῖξαι, καὶ ξυνασχαλῶν κακοῖς;
Δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
Τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
Οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.
Ὠκ. Ὁρῶ Προμηθεῦ, καὶ παραινέσω γέ σοι
Θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
Γίνωσκε σαυτὸν, καὶ μεθάρμοσαι τρόπους
Νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
Εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους

Ῥί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥίψεις, τάχ᾽ ἄν σε καὶ μακρὰν ἀνωτέρω
Θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν χόλον
Παρόντα μόχθων, παιδιὰν εἶναι δοκεῖν.
Ἀλλ᾽ ὦ ταλαίπωρ᾽, ἃς ἔχεις ὀργὰς ἄφες,
Ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
Ἀρχαῖ᾽ ἴσως σοι φαίνομαι λέγειν τάδε.
Τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
Γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίνεται.
Σὺ δ᾽ οὐδέπω ταπεινὸς, οὐδ᾽ εἴκεις κακοῖς,
Πρὸς τοῖς παροῦσι δ᾽ ἄλλα προσλαβεῖν θέλεις.
Οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ,
Πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
Τραχὺς μόναρχος οὐδ᾽ ὑπεύθυνος κρατεῖ.
Καὶ νῦν ἐγὼ μὲν εἶμι, καὶ πειράσομαι,
Ἐὰν δύνωμαι, τῶνδε σ᾽ ἐκλῦσαι πόνων·
Σὺ δ᾽ ἡσύχαζε, μηδ᾽ ἄγαν λαβροστόμει.
Ἦ οὐκ οἶσθ᾽ ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;
Πρ. Ζηλῶ σ᾽, ὅθ᾽ οὕνεκ᾽ ἐκτὸς αἰτίας κυρεῖς,
Πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
Καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω.
Πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
Πάπταινε δ᾽ αὐτὸς μή τι πημανθῇς ὁδῷ.
Ὠκ. Πολλῷ γ᾽ ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς,
Ἢ σαυτόν· ἔργῳ κ᾽ οὐ λόγῳ τεκμαίρομαι.
Ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
Αὐχῶ γὰρ, αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
Δώσειν Δί᾽, ὥστε τῶνδε σ᾽ ἐκλῦσαι πόνων.
Πρ. Τὰ μὲν σ᾽ ἐπαινῶ, κοὐδαμῇ λήξω ποτέ.
Προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
Μηδὲν πόνει· μάτην γὰρ, οὐδὲν ὠφελῶν

Ἐμοί,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐμοὶ, πονήσεις, εἴτι καὶ πονεῖν θέλεις.
Ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων·
Ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα
Θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.
Ὠκ. Οὐ δῆτ'· ἐπεί με καὶ κασιγνήτου τύχαι
Τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
Ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς
Ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
Τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
Ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας,
Ἑκατοντακάρηνον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀντέστη θεοῖς,
Σμερδναῖσι γαμφηλαῖσι συρίζων φόνον.
Ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
Ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ.
Ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
Καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
Ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
Κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
Ἐφεψαλώθη, κἀξεβροντήθη σθένος·
Καὶ νῦν ἀχρεῖον καὶ παρήορον δέμας
Κεῖται στενωποῦ πλησίον θαλασσίου
Ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο.
Κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
Ποταμοὶ πυρὸς, δάπτοντες ἀγρίαις γνάθοις
Τῆς καλλικάρπου Σικελίας λευρὰς γύας.
Τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
Θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης,
Καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.
Πρ. Σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου

Χρῄ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρήζεις, σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι.
Ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
Ἔς τ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.
Ὠκ. Οὔκουν Προμηθεῦ τοῦτο γινώσκεις, ὅτι
Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;
Πρ. Ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ,
Καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.
Ὠκ. Ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν, τίνα
Ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.
Πρ. Μόχθον περισσὸν, κουφόνουν τ' εὐήθειαν.
Ὠκ. Ἔα με τήνδε τὴν νόσον νοσεῖν, ἐπεὶ
Κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.
Πρ. Ἐμὸν δοκήσει τ' ἀμπλάκημ' εἶναι τόδε.
Ὠκ. Σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
Πρ. Μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
Ὠκ. Ἦ τῷ νέον κρατοῦντι παγκρατεῖς ἕδρας;
Πρ. Τούτου φυλάσσου μήποτ' ἀχθεσθῇ κέαρ.
Ὠκ. Ἡ σὴ, Προμηθεῦ, συμφορὰ διδάσκαλος.
Πρ. Στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν.
Ὠκ. Ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον.
Λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
Τετρασκελὴς οἰωνός. ἄσμενος δέ τ' ἂν
Σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χορ. Στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ,
Δακρυσίστακτον δ' ἀπ' ὄσσων
Ῥαδινῶν λειβομένα ῥέος, παρειὰν
Νοτίοις ἔτεγξα παγαῖς· ἀμέγαρτα γὰρ
Τάδε Ζεὺς ἰδίοις νόμοις κρατύνων.

Ὑπε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑπερήφανον τοῖς πάρος Θεοῖς δείκνυσιν
Αἰχμάν. πρόπασα δ' ἤδη στονόεν
Λέλακε χώρα· μεγαλοσχήμονα τ' ἀρ-
χαιοπρεπῆ στένουσι τὰν σὰν ξυνο-
μαιμόνων τε τιμὰν, ὁπόσοι τ' ἔποικον
Ἁγνᾶς Ἀσίας ἕδος νέμονται.
Μεγαλοστόνοισι σοῖς πήμασι
Συγκάμνουσι θνητοί.
Κολχίδος τε γᾶς ἔνοικοι παρθένοι,
Μάχας ἄτρεστοι, καὶ Σκύθης ὅμιλος,
Οἳ γᾶς ἔσχατον πόρον ἀμφὶ Μαιῶτιν
Ἔχουσι λίμναν. Ἀραβίας τ' ἄρειον ἔθνος,
Ὑψίκρημνόν θ' οἳ πόλισμα Καυκάσου
Πέλας νέμονται, δάϊος στρατὸς,
Ὀξυπρώροισι βρέμων ἐν αἰχμαῖς.
Μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
Δαμέντ' ἀκαμαντοδέτοις
Τιτᾶνα λύμαις εἰσιδόμαν Θεῶν
Ἄτλανθ', ὃς αἰὲν ὑπείροχον σθένος
Κραταιὸν οὐράνιόν τε πόλον
Νώτοις ὑποβαστάζει. βοᾷ δὲ πόντιος κλύδων
Ξυμπίτνων, στένει βυθός·
Κελαινὸς δ' ἄϊδος ὑποβρέμει μυχὸς
Γᾶς, παγαί θ' ἁγνορρύτων ποταμῶν
Στένουσιν ἄλγος οἰκτρόν.

## Ι Α Μ Β Ο Ι.

Πρ. Μή τοι χλιδῇ δοκεῖτε μήτ' αὐθαδίᾳ
Σιγᾶν με. συννοίᾳ δὲ δάπτομαι κέαρ,
Ὁρῶν ἐμαυτὸν ὧδε προσηλούμενον.

Καί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
Τίς ἄλλος, ἢ 'γὼ, παντελῶς διώρισεν;
Ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ εἰδυίαισιν ἂν
Ὑμῖν λέγοιμι. τὰν βροτοῖς δὲ πήματα
Ἀκούσαθ', ὡς σφᾶς νηπίους ὄντας τὸ πρὶν,
Ἔννους ἔθηκα, καὶ φρενῶν ἐπηβόλους.
( Λέξω δὲ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
Ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος. )
Οἳ πρῶτα μὲν, βλέποντες ἔβλεπον μάτην,
Κλύοντες οὐκ ἤκουον· ἀλλ' ὀνειράτων
Ἀλίγκιοι μορφαῖσι, τὸν μακρὸν χρόνον
Ἔφυρον εἰκῆ πάντα, κ' οὔτε πλινθυφεῖς
Δόμους προσήλους ἴσαν, οὐ ξυλουργίαν.
Κατώρυχες δ' ἔναιον, ὥστ' ἀείσυροι
Μύρμηκες, ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
Ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ,
Οὔτ' ἀνθεμώδους ἦρος, οὔτε καρπίμου
Θέρους βέβαιον. ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
Ἔπρασσον, ἔστε δύσφιν ἀντολὰς ἐγὼ
Ἄστρων ἔδειξα, τάς τε δυσκρίτους δύσεις.
Καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
Ἐξεῦρον αὐτοῖς γραμμάτων τε συνθέσεις,
Μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάτιν·
Κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
Ζεύγλαισι δουλεύοντα σώμασίν θ', ὅπως
Θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
Γένων θ'. ὑφ' ἅρματ' ἤγαγον φιληνίους
Ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
Θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
Λινόπτερ' εὗρε ναυτίλων ὀχήματα.
Τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας

Βρο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ', ὅτῳ
Τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
Χορ. Πέπονθας αἰκὲς πῆμ', ἀποσφαλεὶς φρενῶν
Πλανᾷ. κακὸς δ' ἰατρὸς ὥς τις, ἐς νόσον
Πεσὼν ἀθυμεῖς, καὶ σεαυτὸν οὐκ ἔχεις
Εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
Πρ. Τὰ λοιπά μου κλύουσα, θαυμάσῃ πλέον,
Οἵας τέχνας τε καὶ δόλους ἐμησάμην.
Τὸ μὲν μέγιστον, εἴτις εἰς νόσον πέσοι,
Οὐκ ἦν ἀλέξημ' οὐδὲν, οὐδὲ βρώσιμον,
Οὐ χριστὸν, οὐδὲ πιστὸν, ἀλλὰ φαρμάκων
Χρείᾳ κατεσκέλλοντο, πρὶν ἐγὼ σφίσιν
Ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
Αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
Τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα,
Κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
Ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
Ἐγνώρισ' αὐτοῖς· ἐνοδίους τε συμβόλους
Γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
Διώρισ', οἵτινές τε δεξιοὶ φύσιν,
Εὐωνύμοι τε, καὶ δίαιταν ἥντινα
Ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
Ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι.
Σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
Ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονὴν,
Χολῆς, λοβοῦ τε ποικίλην εὐμορφίαν,
Κνίσῃ τε κῶλα συγκαλυπτὰ. καὶ μακρὰν
Ὀσφῦν πυρώσας, δυστέκμαρτον εἰς τέχνην
Ὥδωσα θνητούς. καὶ φλογωπὰ σήματα
Ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
Τοιαῦτα μὲν δὴ ταῦτ'. ἔνερθε δὲ χθονὸς

Κε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα.
Χαλκόν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς
Φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
Οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.
Βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε·
Πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
Χορ. Μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
Σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος. ὡς ἐγὼ
Εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
Λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.
Πρ. Οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος
Κρᾶναι πέπρωται· μυρίαις δὲ πημοναῖς,
Δύαις τε καμφθείς, ὧδε δεσμὰ φυγγάνω.
Τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.
Χορ. Τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
Πρ. Μοῖραι τρίμορφοι, μνήμονές τ' ἐριννύες.
Χορ. Τούτων ἄρ' ὁ Ζεύς ἐστιν ἀσθενέστερος.
Πρ. Οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
Χορ. Τί γὰρ πέπρωται Ζηνί, πλὴν ἀεὶ κρατεῖν;
Πρ. Τοῦτ' οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει.
Χορ. Ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
Πρ. Ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς
Καιρὸς γεγωνεῖν. ἀλλὰ συγκαλυπτέος
Ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγώ,
Δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χορ. Μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος
Ἀντίπαλον Ζεύς, μηδ' ἐλινύσαιμι
Θεοὺς ὁσίαις θοίναις ποτινισσομένα

Βο-

Βουφόνοις, παρ' Ὠκεανοῖο πατρὸς
Ἄσβεστον πόρον, μηδ' ἀλίτοιμι λόγοις.
Ἀλλά μοι τόδε μένοι, καὶ μήποτ' ἐκτακείη.
Ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον
Ἐλπίσι, φαναῖς θυμὸν ἀλδαίνουσαν
Ἐν εὐφροσύναις. φρίσσω δέ σε δερκομένη
Μυρίοις μόχθοις διακναιόμενον.
Ζῆνα γὰρ οὐ τρομέων, ἰδίᾳ γνώμῃ σέβῃ
Θνατοὺς ἄγαν Προμηθεῦ· φέρ' ὅπως ἄχαρις
Χάρις, ὦ φίλος, εἰπὲ ποῦ τίς ἀλκά,
Τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης
Ὀλιγοδρανίαν ἄκικυν, ἰσόνειρον,
Ἃ τὸ φωτῶν ἀλαὸν γένος ἐμπεποδισμένον.
Οὔποτε τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι
Βουλαί. ἔμαθον τάδε, σὰς προσιδοῦσ' ὀλοὰς
Τύχας Προμηθεῦ. τὸ διαμφίδιον δέ μοι μέλος
Προσέπτα τόδ', ἐκεῖνό θ' ὅ, τ' ἀμφὶ λουτρά
Τε καὶ λέχος σὸν ὑμεναίουν ἰότητι γάμων,
Ὅτε τὴν ὁμοπάτριον ἕδνοις ἤγαγες Ἡσιόνην
Πιθὼν δάμαρτα κοινόλεκτρον.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Ἰώ. Τίς γῆ, τί γένος; τίνα φῶ λεύσσειν
Τόνδε χαλινοῖς ἐν πατρίνοισι
Χειμαζόμενον;
Τίνος ἀμπλακίης ποινᾶς ὀλέκῃ;
Σήμηνον ὅπη
Γῆς ἡ μογερὰ πεπλάνημαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Α᾽ ἆ, ἔα ἔα.
Χρίει τις αὖ με τάλαιναν οἶστρος,
Εἴδωλον Ἄργου γηγενοῦς. ἄλευ᾽ ὦ γᾶ.
Φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν.
Ὁ δὲ πορεύεται δόλιον ὄμμ᾽ ἔχων,
Ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.
Ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν
Κυνηγετεῖ, πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν
Ψάμμον· ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ
Ἀχέτας ὑπνοδόταν νόμον· ἰὼ ἰώ, ποῖ ποῖ,
Πῶ πῶ πῶ· πῆ μ᾽ ἄγουσι τηλέπλαγκτοι πλάναι;
Τί ποτέ μ᾽ ὦ Κρόνιε παῖ, τί ποτε,
Τί ποτε ταῖς δ᾽ ἐνέζευξας, εὑρὼν
Ἁμαρτοῦσαν, ἐν πημοναῖσιν; ἒ ἔ.
Οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
Παράκοπον ὧδε τείρεις;
Πυρί φλέξον, ἢ χθονὶ κάλυψον, ἢ
Ποντίοις δάκεσι δὸς βορὰν, μηδέ μοι
Φθονήσῃς εὐγμάτων ἄναξ.
Ἄδδην με πολύπλαγκτοι πλάναι
Γεγυμνάκασιν, οὐδ᾽ ἔχω μαθεῖν ὅπη.
Πημονὰς ἀλύξω.

## ΙΑΜΒΟΙ

Κλύεις φρόσφθεγμα τᾶς βούκερω παρθένου;
Πῶς δ᾽ οὐ κλύω τῆς οἰστροδινήτου κόρης
Τῆς Ἰναχείης; ἣ Διὸς θάλπει κέαρ
Ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρα στυγητὸς πρὸς βίαν γυμνάζεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Ἰώ. Πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις,
Εἰπέ μοι τᾷ μογερᾷ τίς ὤν, τίς ἄρα μ' ὦ π
Τὰν ταλαίπωρον ὧδ' ἔτυμα προσθροεῖς;
Θεόσυτον δὲ νόσον ὠνόμασας,
Ἃ μαραίνει με χρίουσα
Κέντροισι φοιταλέοισιν, ἓ ἕ.
Σκιρτημάτων δὲ νήστισιν αἰκίαις
Λαβρόσυτος ἦλθον,
Ἐπικότοισι μήδεσι δαμεῖσα.
Δυσδαιμόνων δὲ τίνες, οἳ (ἒ ἒ) οἷ' ἐγώ, μ
Ἀλλά μοι τορῶς τέκμηρον,
Ὅ,τι μ' ἐπαμμένει παθεῖν,
Τί μὴ χρή. τί φάρμακον νόσου,
Δεῖξον, εἴπερ οἶσθα, θρόει,
Φράζε τᾷ δυσπλάνῳ παρθένῳ.

## ΙΑΜΒΟΙ.

Πρ. Λέξω τορῶς σοι πᾶν, ὅ,τι χρήζεις μαθεῖν,
Οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
Ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
Πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα;
Ἰώ. Ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
Τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
Πρ. Ἄρμοι πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.
Ἰώ. Οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;
Πρ. Λέγ' ἥντιν' αἰτῇ· πᾶν γὰρ ἐκπύθοιό μου.
Ἰώ. Σήμηνον ὅς τις ἐν φάραγγί σ' ὤχμασε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρ. Βέλευμα μὲν τὸ Δῖον, Ἡφαίσου δὲ χείρ.
Ἰώ. Ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;
Πρ. Τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον.
Ἰώ. Καὶ πρός γε τούτοις, τέρμα τῆς ἐμῆς πλάνης
Δεῖξον τίς ἔσαι τῇ ταλαιπώρῳ χρόνος.
Πρ. Τὸ μὴ μαθεῖν σοι κρεῖσσον, ἢ μαθεῖν τάδε.
Ἰώ. Μήτοι με κρύψῃς τοῦθ᾽ ὅπερ μέλλω παθεῖν.
Πρ. Ἀλλ᾽ οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.
Ἰώ. Τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;
Πρ. Φθόνος μὲν οὐδείς, σὰς δ᾽ ὀκνῶ θράξαι φρένας.
Ἰώ. Μή μου προσκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ.
Πρ. Ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δή.
Χορ. Μήπω γε· μοῖραν δ᾽ ἡδονῆς κἀμοὶ πόρε.
Τὴν τῆσδε πρῶτον ἱσορήσωμεν νόσον,
Αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
Τὰ λοιπὰ δ᾽ ἄθλων σοῦ διδαχθήτω πάρα·
Πρ. Σὸν ἔργον Ἰοῖ ταῖς δ᾽ ὑπουργῆσαι χάριν,
Ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
Ὡς ἀποκλαῦσαι κἀποδύρεσθαι τύχας
Ἐνταῦθ᾽ ὅπη μέλλει τις οἴσεσθαι δάκρυ
Πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
Ἰώ. Οὐκ οἶδ᾽ ὅπως ὑμῖν ἀπιστῆσαί με χρή.
Σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρήζετε,
Πεύσεσθε. καίτοι καὶ λέγουσ᾽ ὀδύρομαι
Θεόσσυτον χειμῶνα, καὶ διαφθορὰν
Μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
Ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι
Ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
Λείοισι μύθοις· ὦ μέγ᾽ εὔδαιμον κόρη,
Τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου
Τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς σοῦ τέθαλπται, καὶ συναίρεσθαι Κύπριν
Θέλει, σὺ δ' ὦ παῖ μὴ 'πολακτίσῃς λέχος
Τὸ Ζηνὸς, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
Λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς,
Ὡς ἂν τὸ δῖον ὄμμα λωφήσῃ πόθου.
Τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
Ξυνειχόμην δύστηνος, ἔς τε δὴ πατρὶ
Ἔτλην γεγωνεῖν νυκτίφοιτ' ὀνείρατα.
Ὁ δ' ἔς τε Πυθὼ, κἀπὶ Δωδώνην πυκνοὺς
Θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
Δρῶντ' ἢ λέγοντα, δαίμοσι πράττειν φίλα.
Ἧκον δ' ἀναγγέλλοντες αἰολοστόμους
Χρησμοὺς, ἀσήμως δυσκρίτως τ' εἰρημένους.
Τέλος δ' ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
Σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη,
Ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ,
Ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις.
Κ' εἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
Κεραυνὸν, ὃς πᾶν ἐξαϊστώσει γένος.
Τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν,
Ἐξήλασέν με, κἀπέκλεισε δωμάτων
Ἄκουσαν ἄκων. ἀλλ' ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
Εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
Ἦσαν, κεράστις δ', ὡς ὁρᾶτ', ὀξυστόμῳ
Μύωπι χρισθεῖσ', ἐμμανεῖ σκιρτήματι
Ἤσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος,
Λέρνης ἄκρην τε· βουκόλος δὲ γηγενὴς
Ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
Ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
Ἀπροσδόκητος δ' αὐτὸν αἰφνίδιος μόρος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ ζῆν ἀπεστέρητον. οἰστρόπληξ δ᾽ ἐγὼ
Μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
Κλύεις τὰ πραχθέντ᾽, εἰδ᾽ ἔχεις εἰπεῖν ὅ,τι
Λοιπὸν πόνων, σήμαινε. μηδέ μ᾽ οἰκτίσας
Ξύνθαλπε μύθοις ψευδέσιν. νόσημα γὰρ
Αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

## ΣΥΣΤΗΜΑ.

Χορ. Ἔα, ἔα· ἄπεχε, φεῦ·
Οὔποτ᾽ οὔποτ᾽ ηὐχόμην ξένους μολεῖσθαι λόγους
Ἐς ἀκοὰν ἐμάν, οὐδ᾽ ὧδε δυσθέατα
Καὶ δύσοιστα πήματα, λύματα, δείματ᾽ ἀμφήκει
Κέντρῳ ψύχειν ψυχὰν ἐμάν.
Ἰὼ ἰώ, μοῖρα, μοῖρα,
Πέφρικ᾽ εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.

## ΙΑΜΒΟΙ.

Πρ. Πρό γε στενάζεις, καὶ φόβου πλέα τίς εἶ.
Ἐπίσχες ἔς τ᾽ ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.
Χορ. Λέγ᾽, ἐκδίδασκε· τοῖς νοσοῦσί τι γλυκύ,
Τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς.
Πρ. Τὴν πρίν γε χρείαν ἠνύσασθ᾽ ἐμοῦ πάρα
Κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ᾽ ἐχρῄζετε
Τὸν ἀμφ᾽ ἑαυτῆς ἆθλον ἐξηγουμένης·
Τὰ λοιπὰ νῦν ἀκούσαθ᾽, οἷα χρὴ πάθη
Τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
Σύ τ᾽ Ἰνάχειον σπέρμα τοὺς ἐμοὺς λόγους
Θυμῷ βάλ᾽, ὡς ἂν τέρματ᾽ ἐκμάθῃς ὁδοῦ.
Πρῶτον μὲν ἐνθένδ᾽ ἡλίου πρὸς ἀντολὰς
Στρέψασα σαυτήν, στεῖχ᾽ ἀνηρότους γύας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
Πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
Ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι.
Οἷς μὴ πελάζειν· ἀλλ' ἁλιστόνοις πόδας
Χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
Λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
Οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή.
Ἀνήμεροι γάρ, οὐδὲ πρόσπλατοι ξένοις.
Ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
Ὃν μὴ περάσῃς. οὐ γὰρ εὔβατος περᾶν,
Πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
Ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
Κροτάφων ἀπ' αὐτῶν· ἀστρογείτονας δὲ χρὴ
Κορυφὰς ὑπερβάλλουσαν, ἐς μεσημβρινὴν
Βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
Ἥξεις στυγάνορ', αἳ Θεμίσκυράν ποτε
Κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
Τραχεῖα πόντου Σαλμυδησία γνάθος
Ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν.
Αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
Ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
Λιποῦσαν αὐλῶν ἐκπερᾶν Μαιωτικόν.
Ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
Τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
Κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον,
Ἤπειρον ἥξεις Ἀσιάδ'· ἆρ' ὑμῖν δοκεῖ
Ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
Βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
Χρῄζων μιγῆναι, τάσδ' ἐπέρριψε πλάνας.
Πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων.

Μ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους
Εἶναι δόκει σοὶ μηδέπω 'ν προοιμίοις.
Ἰώ. Ἰώ μοι μοι, ἒ ἒ ἒ ἔ.
Πρ. Σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ· τί που
Δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;
Χορ. Ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;
Πρ. Δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.
Ἰώ. Τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
Ἔῤῥιψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
Ὅπως πέδῳ σκήψασα, τῶν πάντων πόνων
Ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν,
Ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.
Πρ. Ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
Ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον.
Αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή.
Νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον
Μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.
Ἰώ. Ἦ γάρ ποτ' ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία;
Ἥδοιμ' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν.
Πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
Πρ. Ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα.
Ἰώ. Πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
Πρ. Αὐτὸς πρὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
Ἰώ. Ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.
Πρ. Γαμεῖ γάμον τοιοῦτον, ᾧ ποτ' ἀσχαλᾷ.
Ἰώ. Θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
Πρ. Τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε.
Ἰώ. Ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
Πρ. Ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.
Ἰώ. Οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;
Πρ. Οὐ δῆτα, πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰώ. Τίς οὖν ὁ λύσων σ' ἐστὶν, ἄκοντος Διός;

Πρ. Τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.

Ἰώ. Πῶς εἶπας; ἦ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;

Πρ. Τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς.

Ἰώ. Ἥδ' οὐκ ἔτ' εὐξύμβλητος ἡ χρησμῳδία.

Πρ. Καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.

Ἰώ. Μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει.

Πρ. Δυεῖν λόγοιν σε θατέρῳ δωρήσομαι.

Ἰώ. Ποίοιν; πρόδειξον, αἵρεσίν τ' ἐμοὶ δίδου.

Πρ. Δίδωμ'. ἑλοῦ γὰρ ἢ πόνων τὰ λοιπά σοι
Φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.

Χορ. Τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
Θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγους.
Καὶ τῇδε μὲν γέγονε τὴν λοιπὴν πλάνην,
Ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.

Πρ. Ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
Τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
Σοὶ πρῶτον Ἰοῖ πολύδονον πλάνην φράσω,
Ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
Ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον,
Πρὸς ἀντολὰς φλογωπὰς ἡλιοστιβεῖς
Πόντου περῶσα φλοῖσβον, ἐς τ' ἂν ἐξίκῃ
Πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
Αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι
Τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
Μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
Ἀκτῖσιν, οὔθ' ἡ νύκτερος Μήνη ποτέ.
Πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
Δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
Ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς.
Τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω.

Ἄλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν.
Ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
Γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόῤῥυτον
Οἰκοῦσιν ἀμφὶ νᾶμα πλούτωνος πόρου.
Τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
Ἥξεις κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
Ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
Τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκῃ
Καταβασμὸν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
Ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
Οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν
Ἰοῖ πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
Τῶν δ' εἴ τι σοὶ ψελλόν τε καὶ δυσεύρετον,
Ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε.
Σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
Χορ. Εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
Ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
Λέγ'. εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
Δὸς ἥν τιν' αἰτούμεσθα, μέμνησαι δέ που.
Πρ. Τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν.
Ὅπως δ' ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
Ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκε, φράσω,
Τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
Ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
Πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
Ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα,
Τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα
Μαντεῖα θῶκός τ' ἐστὶ Θεσπρωτοῦ Διὸς,
Τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑφ' ὧν σὺ λαμπρῶς κ' οὐδὲν αἰνικτηρίως
Προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
Μέλλουσ' ἔσεσθ' ( εἰ τῶνδε προσσαίνει σέ τι. )
Ἐντεῦθεν οἰστρήσασα, τὴν παρακτίαν
Κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας,
Ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις.
Χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχὸς,
( Σαφῶς ἐπίστασ') Ἰόνιος κληθήσεται,
Τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσι βροτοῖς.
Σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς,
Ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
Τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
Ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
Ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονὸς,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
Ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα,
Ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θίγων μόνον.
Ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
Τέξεις κελαινὸν Ἔπαφον· ὃς καρπώσεται
Ὅσην πλατύῤῥους Νεῖλος ἀρδεύει χθόνα.
Πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντόπαις
Πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται
Θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
Ἀνεψιῶν. οἱ δ' ἐπτοημένοι φρένας,
Κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
Ἥξουσι θηρεύοντες οὐ θηρασίμους
Γάμους· φθόνον δὲ σωμάτων ἕξει Θεός.
Πελασγία δὲ δέξεται θηλυκτόνῳ
Ἄρει δαμέντα, νυκτιφρουρήτῳ θράσει.
Γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
Δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος.

( Τοιάδ'

( Τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις )
Μίαν δὲ παίδων ἵμερος θέλξει, τὸ μὴ
Κτεῖναι σύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
Γνώμην. δυεῖν δὲ θάτερον βουλήσεται,
Κλύειν ἄναλκις μᾶλλον, ἢ μιαιφόνος·
Αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος·
Μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.
Σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
Τόξοισι κλεινὸς, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
Λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
Μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
Ὅπως δὲ χ' ὤπη, ταῦτα δεῖ μακροῦ λόγου
Εἰπεῖν. σύ τ' οὐδὲν ἐκμαθοῦσα, κερδανεῖς.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Ἐλελελελελεῦ.
Ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς
Μανίαι θάλπουσ', οἴστρου δ' ἄρδις
Χρίει μ' ἄπορος.
Καρδία δὲ φόβῳ φρένα λακτίζει.
Τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
Ἔξω δὲ δρόμου φέρομαι, λύσσης
Πνεύματι μάργῳ, γλώσσης ἀκρατής.
Θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ
Στυγνῆς πρὸς κύμασιν ἄτης.

## ΕΠΩΔΙΚΑ.

### Στροφή.

α. Ἦ σοφὸς, ἦ σοφὸς ἦν,
Ὃς πρῶτος ἐν γνώμᾳ

Τόδ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Τόδ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησεν,
Ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν, ἀριστεύει μακρῷ,
Καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων,
Μήτε τῶν γέννᾳ μεγαλυνομένων
Ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

Ἀντιστροφή.

Μήποτε μήποτέ μ', ὦ
Μοῖραι,
Λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν·
Μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
Ταρβῶ γὰρ, ἀστεργάνορα παρθενίαν
Εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν
Δυσπλάγχνοις Ἥρας ἀλατείαισι πόνων

Ἐπῳδός.

Ἐμοὶ δ' ὅτι μὲν ὁμαλὸς ὁ γάμος
Ἄφοβος, οὐ δέδια. μηδὲ κρεισσόνων
Θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοιτό με.
Ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα
Πόριμος οὐδ' ἔχω τίς ἂν γενοίμαν.
Τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ' ἄν.

ΙΑΜΒΟΙ.

Πρ. Ἦ μὴν ἔτι Ζεὺς, καίπερ αὐθάδης φρενῶν,
Ἔσται ταπεινὸς, οἷον ἐξαρτύεται
Γάμον γαμεῖν ὃς αὐτὸν ἐκ τυραννίδος
Θρόνων τ' ἄϊστον ἐκβαλεῖν. πατρὸς δ' ἀρὰ

Κρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροι

Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται·
Ἣν ἐκπιτνῶν ἠρᾶτο δηναιῶν θρόνων.
Τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς Θεῶν
Δύναιτ' ἂν αὐτῷ, πλὴν ἐμοῦ, δεῖξαι σαφῶς.
Ἐγὼ τάδ' οἶδα, χ' ᾧ τρόπῳ. πρὸς ταῦτα νῦν
Θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
Πιστὸς, τινάσσων τ' ἐν χεροῖν πυρπνόον βέλος.
Οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
Πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά.
Τοῖον παλαιστὴν νῦν παρασκευάζεται
Ἐπ' αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας.
Ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα,
Βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·
Θαλασσίαν τε γῆς τινάκτειραν νόσον
Τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ.
Πταίσας δὲ τῷδε πρὸς κακῷ, μαθήσεται
Ὅσον τό, τ' ἄρχειν, καὶ τὸ δουλεύειν δίχα.
Σὺ θὴν ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.
Ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.
Καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνάς τινα;
Καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.
Πῶς οὐχὶ ταρβεῖς, τοιάδ' ἐκρίπτων ἔπη;
Τί δ' ἂν φοβοίμην. ᾧ θανεῖν οὐ μόρσιμον.
Ἀλλ' ἆθλον ἂν σοι τοῦδέ γ' ἀλγίω πόνοι.
Ὁ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι.
Οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν, σοφοί.
Σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
Ἐμοὶ δ' ἔλασσον Ζηνὸς, ἢ μηδὲν μέλει.
Δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
Ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει Θεοῖς.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,

Τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
Πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.
Ἑρ. Σὲ τὸν σοφιστὴν, τὸν πικρῶς ὑπέρπικρον,
Τὸν ἐξαμαρτόντ' εἰς θεοὺς, τὸν ἐφημέροις
Πορόντα τιμὰς, τὸν πυρὸς κλέπτην λέγω.
Πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
Αὐδᾶν, πρὸς ὧν τ' ἐκεῖνος ἐκπίπτει κράτους·
Καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
Ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδέ μοι διπλᾶς
Ὁδοὺς Προμηθεῦ προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
Πρ. Σεμνόστομός γε καὶ φρονήματος πλέως
Ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
Νέον νέοι κρατεῖτε, καὶ δοκεῖτε δὴ
Ναίειν ἀπενθῆ πέργαμ'. οὐκ ἐκ τῶνδ' ἐγὼ
Δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
Τρίτον δὲ τὸν νῦν τυραννοῦντ' ἐπόψομαι
Αἴσχιστα καὶ τάχιστα. μή τι σοὶ δοκῶ
Ταρβεῖν, ὑποπτήσσειν τε τοὺς νέους θεούς;
Πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
Κέλευθον ἥνπερ ἦλθες, ἐγκόνει πάλιν.
Πεύσῃ γὰρ οὐδὲν ὧν αὖ ἱστορῆς ἐμέ.
Ἑρ. Τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
Ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.
Πρ. Τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
( Σαφῶς ἐπίστασ' ) οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
Κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ,
Ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
Οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
Ἑρ. Χλιδᾶν ἔοικας τοῖς παροῦσι πήμασι.
Πρ. Χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ᾽ ἐν τούτοις λέγω.
Ἑρ. Ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;
Πρ. Ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω Θεοὺς,
Ὅσοι παθόντες εὖ, κακοῦσί μ᾽ ἐκδίκως.
Ἑρ. Κλύω σ᾽ ἐγὼ μεμηνότ᾽ οὐ μικρὰν νόσον.
Πρ. Νοσοῖμ᾽ ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς συγεῖν.
Πρ. Εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
Ἑρ. Ὤμοι. Ἑρ. Τόδε Ζεὺς τοῦπος οὐκ ἐπίσταται.
Πρ. Ἀλλ᾽ ἐκδιδάσκει πάνθ᾽ ὁ γηράσκων χρόνος.
Ἑρ. Καὶ μὴν σύγ᾽ οὔπω σωφρονεῖν ἐπίστασαι.
Πρ. Σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ᾽ ὑπηρέτην.
Ἑρ. Ἐρεῖν ἔοικας οὐδὲν ὧν χρήζει πατήρ.
Πρ. Καὶ μὴν ὀφείλων γ᾽ ἂν τίνοιμ᾽ αὐτῷ χάριν.
Ἑρ. Ἐκερτόμησας δῆθεν ὡς παῖδ᾽ ὄντα με.
Πρ. Οὐ γὰρ σὺ παῖς τε, καὶ ἔτι τοῦδ᾽ ἀνούστερος,
Εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
Οὐκ ἔστιν αἴκισμ᾽ οὐδὲ μηχάνημ᾽, ὅπῳ
Προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
Πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
Πρὸς ταῦτα, ῥιπτέσθω μὲν αἰθαλοῦσα φλὸξ,
Λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήματι
Χθονίοις κυκάτω πάντα, καὶ ταρασσέτω·
Γνάμψει γὰρ οὐδὲν τῶνδέ μ᾽, ὥστε καὶ φράσαι
Πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
Ἑρ. Ὅρα νῦν εἴ σοι ταῦτ᾽ ἀρωγὰ φαίνεται.
Πρ. Ὦπται πάλαι δὴ, καὶ βεβούλευται τάδε.
Ἑρ. Τόλμησον ὦ μάταιε, τόλμησόν ποτε
Πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
Πρ. Ὀχλεῖς μάτην με, κῦμ᾽ ὅπως, παρηγορῶν,
Εἰσελθέτω σε μήποθ᾽, ὡς ἐγὼ Διὸς
Γνώμην φοβηθεὶς, θηλύνους γενήσομαι,

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
Γυναικομίμοις ὑπτιάσμασιν χερῶν,
Λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
Ἑρ. Λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
Τέγγῃ γὰρ οὐδὲν, οὐδὲ μαλθάσσῃ λιταῖς
Ἐμαῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
Πῶλος, βιάζῃ, καὶ πρὸς ἡνίας μάχῃ.
Ἀτὰρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι.
Αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς.
Αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖζον σθένει.
Σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
Οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
Ἔπεισ' ἄφυκτος. πρῶτα μὲν γὰρ ὀκρίδα
Φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
Πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
Τὸ σὸν, πετραία δ' ἀγκάλη σε βαστάσει,
Μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου,
Ἄψορρον ἥξεις ἐς φάος. Διός δέ τοι
Πτηνὸς κύων δαφοινὸς αἰετὸς λάβρως
Διαρταμήσει σώματος μέγα ῥάκος,
Ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος.
Κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται.
Τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
Πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
Φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἄδην, κνεφαῖά τ' ἀμφὶ ταρτάρου βάθη.
Πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
Ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
Τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
Πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν

Εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροι

Εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ.
Ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
Λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
Μεθέντ', ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
Πείθου· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

## ΑΝΑΠΑΙΣΤΟΙ.

Εἰδότι τοι μοὶ τάς δ' ἀγγελίας
Ὅδ' ἐθώϋξε, πάσχειν δὲ κακῶς
Ἐχθρὸν ὑπ' ἐχθρῶν, οὐδὲν ἀεικές.
Πρὸς ταῦτ', ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
Πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ
Δ' ἐρεθιζέσθω βροντῇ, σφακέλῳ
Τ' ἀγρίων ἀνέμων· χθόνα δ' ἐκ πυθμένων
Αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι.
Κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
Συγχώσειε. τῶν τ' οὐρανίων
Ἄστρων διόδους, ἔς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
Τοὐμὸν, ἀνάγκης στερ᾽ρ᾽αῖς δίναις.
Πάντως ἐμέ γ' οὐ θανατώσει.
Τοιάδε μέντοι τῶν φρενοπλήκτων
Βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.
Τί γὰρ ἐλλείπει μὴ παραπαίειν;
Εἰ δ' εὐτυχῇ, τί χαλᾷ μανιῶν;
Ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
Συγκάμνουσαι ταῖς τοῦδε, τόπων
Μετά ποι χωρεῖτ' ἐκ τῶν δὲ θοῶς.
Μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
Βροντῆς μύκημ' ἀτέραμνον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Χορ. Ἄλλο τι φώνει, καὶ παραμυθοῦ
Μ' ὅ, τι κὴ πείσεις· οὐ γὰρ δήπου
Τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
Πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
Μετὰ τοῦδ' ὅ, τι χρὴ, πάσχειν ἐθέλω·
Τοὺς προδότας γὰρ μισεῖν ἔμαθον.
Κ' οὐκ ἔστι νόσος
Τῆς δ', ἣν τιν' ἀπέπτυσα μᾶλλον.

Ἑρ. Ἀλλ' οὖν μέμνησθ' ἅττ' ἐγὼ προλέγω.
Μηδὲ πρὸς ἄτης θηραθεῖσαι,
Μέμψησθε τύχην, μηδὲ ποτ' εἴπη-
θ', ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
Πῆμ' εἰσέβαλε· μὴ δῆτ', αὐταὶ
Δ' ὑμᾶς αὐτάς. εἰδυῖαι γὰρ
Κ' οὐκ ἐξαίφνης, οὐδὲ λαθραίως
Εἰς ἀπέραντον δίκτυον ἄτης
Ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.

Πρ. Καὶ μὴν ἔργῳ, κ' οὐκ ἔτι μύθῳ
Χθὼν σεσάλευται.
Βρυχία δ' ἠχὼ παραμυκᾶται
Βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
Στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν
Εἱλίσσουσι. σκιρτᾷ δ' ἀνέμων
Πνεύματα πάντων, εἰς ἄλληλα
Στάσιν ἀντίπνουν ἀποδεικνύμενα.
Ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
Τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
Τεύχουσα φόβον στείχει φανερῶς.
Ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
Αἰθὴρ κοινὸν φάος εἱλίσσων,
Ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΥΠΟΘΕΣΙΣ

## ΤΗΣ ΤΟΥ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΩΜΩΔΙΑΣ. Ἥ ἐστιν Ἐπιγεγραμμένη, Πλοῦτος.

Βουλόμενος Ἀριστοφάνης σκῶψαι Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς πονηροῖς συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστὸν, πένητα δὲ ἄλλως. ὃς μετά τινος αὐτοῦ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω, ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τοῦτον ἐξ ὅπων χρηστῶν ἀμελήσαντα, ἀδικίας ἀντιποιεῖσθαι, καὶ ταῦτα τοῖς ἄλλοις ἐπιτηδεύειν. ἐπειδήπερ οἱ μὲν πονηροὶ, ἐπλούτουν. οἱ δὲ τὰ ἀγαθὰ πράττοντες, πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. Ἔχρησεν οὖν αὐτῷ ὁ Θεὸς σαφὲς μὲν οὐδέν· ὅτῳ δὲ ἐξιὼν ἐντύχῃ, τούτῳ ἕπεσθαι. Καὶ ὃς γέροντί ἐντυγχάνει τυφλῷ (ἦν δὲ οὗτος ὁ Πλοῦτος) καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅτι ὁ Πλοῦτός ἐστι. Δυσχεραίνων δὲ ἐπὶ τοῦτο καθ' ἑαυτὸν ὁ θεράπων, μόλις αὐτὸν ἐρωτᾷ τίνος εἵνεκα τούτῳ ἀκολουθοῦσι· καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ τοῦ Πλούτου ὅστις ἐστί. καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. Οἱ δὲ ἀκούσαντες, ἥσθησάν τε, καὶ βουλὴν ἔσχον ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ, καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, πάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅτι τάχιστα, καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε. ἐπλούτησάν τε ἱκανῶς, οὐκ αὐτοὶ μόνοι, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι, πένητες ἦσαν. Ἐπιγέγραπται δὲ τὸ δρᾶμα, Πλοῦτος Ἀριστοφάνους.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ

## ΠΛΟΥΤΟΣ

### ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ

### ΣΚΗΝΗ ΠΡΩΤΗ

Τρίμετροι Ἰαμβικοί.

ΚΑΡΙΩΝ, ΚΑΙ ΧΡΕΜΥΛΟΣ.

Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ Θεοί,
Δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
Ἢν γὰρ τὰ βέλτιστ' ὁ θεράπων λέξας τύχῃ,
Δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
Μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
Κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
Καὶ ταῦτα μὲν δὴ, ταῦτα. τῷ δὲ Λοξίᾳ,
Ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
Μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι,
Ἰατρὸς ὢν καὶ μάντις, ὥς φασι, σοφὸς,
Μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην.
Ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
Τοὐναντίον δρῶν, ἢ προσῆκ' αὐτῷ ποιεῖν.

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα.
Οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται.
Καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν, οὐδὲ γρύ.
Ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
Ἢν μὴ φράσῃς, ὅτι τῷδ' ἀκολουθοῦμέν ποτε,
Ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα.
Οὐ γάρ με τυπτήσεις, στέφανον ἔχοντά γε.
Μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με.
Ἵνα μᾶλλον ἀλγῇς. Κα. Λῆρος· οὐ γὰρ παύσομαι
Πρὶν ἂν φράσῃς μοι, τίς ποτ' ἐστὶν οὑτοσί.
Εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα.
Ἀλλ' οὔτε κρύψω. τῶν ἐμῶν γὰρ οἰκετῶν
Πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
Ἐγὼ θεοσεβὴς, καὶ δίκαιος ὢν ἀνὴρ,
Κακῶς ἔπραττον, καὶ πένης ἦν. Κα. Οἶδά τοι.
Ἕτεροι δ' ἐπλούτουν ἱερόσυλοι, ῥήτορες,
Καὶ συκοφάνται, καὶ πονηροί. Κα. Πείθομαι.
Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν Θεὸν,
Τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
Ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον.
Τὸν δ' υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
Πευσόμενος, εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους,
Εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
Ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
Τί δῆθ' ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
Πεύσει. σαφῶς γὰρ ὁ Θεὸς εἶπέ μοι τοδί.
Ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιὼν,
Ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι·
Πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
Καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; Χρ. Τουτῳΐ.
Εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ Θεοῦ,

Φράζουσαν, ὦ σκαιότατε, σοὶ σαφέστατα,
Ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον.
Χρ. Τῷ, τοῦτο κρίνεις. Κα. Δηλονοτιὴ καὶ τυφλῷ
Γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
Τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
Χρ. Οὐκ ἔσθ' ὅπως, ὁ χρησμὸς εἰς τουτὶ ῥέπει,
Ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ,
Ὅς τίς ποτ' ἐστὶν ουτοσί, καὶ τοῦ χάριν,
Καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
Πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν, ὅ,τι νοεῖ.
Κα. Ἄγε δὴ σὺ πρότερον σαυτὸν ὅς τις εἶ, φράσον,
Ἢ τἀπὶ τούτοις δρῶ. Χρ. Λέγειν χρὴ ταχὺ πάνυ.

## ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ

### Σκηνὴ Δευτέρα.

Τρίμετροι Ἰαμβικοί.

### ΠΛΟΥΤΟΣ, ΚΑΡΙΩΝ, ΚΑΙ ΧΡΕΜΥΛΟΣ.

Πλ. Ἐγὼ μὲν οἰμώζειν λέγω σοι. Κα. Μανθάνεις
Ὅς φησιν εἶναι; Χρ. Σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
Σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνῃ.
Ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
Ἐμοὶ φράσον. Πλ. Κλάειν ἔγωγέ σοι λέγω.
Κα. Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ Θεοῦ.
Χρ. Οὔτοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι,
Εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.
Πλ. Ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ. Χρ. Πώμαλα.
Κα. Καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστι, δέσποτα,
Ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.

Ἀνα

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν, κᾆτα λιπὼν,
Ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών·
Ἀλλ' αἶρε ταχέως. Πλ. Μηδαμῶς. Χρ. Οὔκουν ἐρεῖς;
Ἀλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
Κακόν τι μ' ἐργάσεσθε, κοὐκ ἀφήσετε.
Νὴ τοὺς Θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.
Μέθεσθέ νυν μου πρῶτον. Χρ. Ἢν ἰ μεθίεμεν.
Ἀκούετον δή. δεῖ γὰρ ὡς ἔοικ' ἐμὲ
Λέγειν, ἃ κρύπτειν ἦν παρεσκευασμένος.
Ἐγὼ γάρ εἰμι Πλοῦτος. Χρ. Ὦ Μιαρώτατε
Ἀνδρῶν ἁπάντων, εἶτ' ἐσίγας Πλοῦτος ὤν;
Σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
Ὦ φοῖβ' Ἄπολλον, καὶ θεοὶ, καὶ δαίμονες,
Καὶ Ζεῦ, τί φής; ἐκεῖνος, οὕτως εἶ σύ; Πλ. Ναί.
Ἐκεῖνος αὐτός; Πλ. Αὐτότατος. Χρ. Πόθεν οὖν φράσον
Αὐχμῶν βαδίζεις; Πλ. Ἐκ Πατροκλέους ἔρχομαι,
Ὃς οὐκ ἐλούσατ' ἐξότου περ ἐγένετο.
Τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες, κάτειπέ μοι.
Ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν,
Ἐγὼ γὰρ ὢν μειράκιον, ἠπείλησ' ὅτι
Ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους,
Μόνους βαδιοίμην, ὁ δέ μ' ἐποίησε τυφλὸν,
Ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
Οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
Καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους,
Καὶ τοὺς δικαίους. Πλ. Ὁμολογῶ σοι. Χρ. Φέρε τί οὖν
Εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ προτοῦ,
Φεύγοις ἂν ἤδη τοὺς πονηρούς; Πλ. Φήμ' ἐγώ,
Ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις;
Πάνυ μὲν οὖν.
Πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑώρακα χρόνου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρ. Καὶ θαυμάγ' ἐδέν· ἐδέν· ἐδ' ἐγὼ γὰρ ὁ βλέπων.
Πλ. Ἄφετόν με νῦν· ἴσον γὰρ ἤδη τἀπ' ἐμοῦ.
Χρ. Μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου.
Πλ. Οὐκ ἠγόρευον, ὅτι παρέξειν πράγματα
Ἐμέλλετόν μοι; Χρ. Καὶ σύγ', ἀντιβολῶ, πιθοῦ·
Καὶ μή μ' ἀπολίπῃς, ἐ γὰρ εὑρήσεις ἐμοῦ,
Ζητῶν ἔτ' ἄνδρα τὺς τρόπους βελτίονα.
Μὰ τὸν Δί', ἐ γάρ ἐστιν ἄλλος, πλὴν ἐγώ.
Πλ. Ταυτὶ λέγουσι πάντες. ἡνίκ' ἂν δέ μου
Τύχωσ' ἀληθῶς, κ) γένωνται πλούσιοι,
Ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
Χρ. Ἔχει μὲν ὅτως· εἰσὶ δ' ἐ πάντες κακοί.
Πλ. Μὰ Δί', ἀλλ' ἁπαξάπαντες. Κα. Οἰμώξει μακρά.
Χρ. Σὺ δ' ὡς ἂν εἰδῇς, ὅσα παρ' ἡμῖν ἣν μένῃς,
Γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν ἵνα πύθῃ.
Οἶμαι γὰρ οἶμαι (ξὺν Θεῷ δ' εἰρήσεται)
Ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
Βλέψαι ποιήσας. Πλ. Μηδαμῶς τῦτ' ἐργάσῃ.
Οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. Κα. Τί φής;
Ἄνθρωπος ἔτός ἐστιν ἄθλιος φύσει.
Πλ. Ὁ Ζεὺς μὲν ἐν εἰδὼς τὰ τύτων μῶρ', ἐμ', εἰ
Πύθοιτ' ἄν, ἐπιτρίψειε. Χρ. Νῦν δ' ἐ τῦτο δρᾷ,
Ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
Πλ. Οὐκ οἶδ'. ἐγὼ δ' ἐκεῖνον ὀρρωδῶ πάνυ.
Χρ. Ἀληθές; ὦ δειλότατε πάντων δαιμόνων.
Οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα,
Καὶ τὺς κεραυνὺς ἀξίυς τριωβόλυ,
Ἐὰν γ' ἀναβλέψῃς σύ, κἂν μικρὸν χρόνον;
Πλ. Ἆ, μὴ λέγ' ὦ πονηρὲ ταῦτ'. Χρ. Ἔχ' ἥσυχος.
Ἐγὼ γὰρ ἀποδείξω σε τῦ Διὸς πολὺ
Μεῖζον δυνάμενον. Πλ. Ἐμὲ σύ; Χρ. Νὴ τὸν ὐρανόν.
Αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Αὐτίκα γάρ. ἄρχει διὰ τί ν' ὁ Ζεὺς τῶν θεῶν;
Κα. Διὰ τἀργύριον· πλεῖστον γὰρ ἔς' αὐτῷ. Χρ. Φέρε.
Τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦτ'; Κα. Οὑδί.
Χρ. Θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
Κα. Καὶ νὴ Δί', εὔχονταί γε πλουτεῖν ἄντικρυς.
Χρ. Οὐκοῦν, ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
Παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν. Πλ. Ὅτι τί δή;
Χρ. Ὅτ' οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
Οὐ βοῦν ἄν, οὐχὶ ψαιστὸν, οὐκ ἄλλ' οὐδέν,
Μὴ βουλομένου σοῦ. Πλ. Πῶς; Χρ. Ὅπως; οὐκ ἔσθ' ὅπως
Ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
Αὐτὸς διδῷς τ' ἀργύριον, ὥστε τοῦ Διὸς
Τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
Πλ. Τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; Χρ. Φήμ' ἐγώ.
Καὶ νὴ Δί', εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν,
Ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται·
Ἅπαντα τῷ πλουτεῖν γὰρ ἔσθ' ὑπήκοα.
Κα. Ἔγωγέ τοι διὰ σμικρὸν ἀργυρίδιον,
Δοῦλος γεγένημαι. διὰ τὸ μὴ πλουτεῖν ἴσως.
Χρ. Καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
Ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ;
Οὐδὲ προσέχειν τὸν νοῦν. ἐὰν δὲ πλούσιος,
Τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
Κα. Καὶ τούς γε παῖδας φασὶ ταυτὸ τοῦτο δρᾶν,
Οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
Χρ. Οὐ τούς γε χρηστοὺς, ἀλλὰ τοὺς πόρνους. ἐπεὶ
Αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. Κα. Τί δαί;
Χρ. Ὁ μὲν ἵππον ἀγαθὸν, ὁ δὲ κύνας θηρευτικάς.
Κα. Αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως,
Ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
Χρ. Τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα,

Ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν τοῖσιν ἀνθρώποισιν ἔσθ' εὑρημένα.
Ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος.
Ἕτερος δὲ χαλκεύει τις· ὁ δὲ τεκταίνεται.
Ὁ δὲ χρυσοχοεῖ, χρυσίον παρὰ σοῦ λαβών.
Ὁ δὲ λωποδυτεῖ γε νὴ Δί'. ὁ δὲ τοιχωρυχεῖ.
Ὁ δὲ κναφεύει τις· ὁ δὲ πλύνει κώδια.
Ὁ δὲ βυρσοδεψεῖ γ'. ὁ δέ γε πωλεῖ κρόμμυα.
Ὁ δ' ἁλούς γε μοιχὸς, διὰ σέ που παρατίλλεται.
Πλ. Οἴμοι τάλας, ταυτί μ' ἐλάνθανε πάλαι.
Χρ. Μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
Κα. Ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
Χρ. Τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς, εἰπέ μοι;
Κα. Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
Χρ. Ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
Κα. Ὁ Βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
Χρ. Ἀργύριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Κα. Φιλέψιος δ' οὐχ οὕνεκά σου μύθους λέγει;
Χρ. Ἡ ξυμμαχία δ' οὐχὶ διά σε τοῖς Αἰγυπτίοις;
Κα. Ἐρᾷ δὲ Λαῒς οὐ διά σε Φιλωνίδου;
Χρ. Ὁ Τιμοθέου δὲ πύργος; Κα. Ἐμπέσοι γέ σοι.
Χρ. Τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος
Καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
Κα. Κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε,
Ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνος.
Πλ. Ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
Χρ. Καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα.
Ὥστ' οὐδὲ μεστός σου γέγον' οὐδεὶς πώποτε.
Τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή.
Ἔρωτος. Κα. Ἄρτων. Χρ. Μουσικῆς.
Κα. Τραγημάτων. Χρ. Τιμῆς. Κα. Πλακούντων.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀνδραγαθίας. Κα. Ἰσχάδων. Χρ. Φιλοτιμίας.
Μάζης. Χρ. Στρατηγίας. Κα. Φακῆς.
Σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
Ἀλλ' ἢν τάλαντά τις λάβῃ τρισκαίδεκα,
Πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα.
Κἂν ταῦτ' ἀνύσῃ, τετταράκοντα βούλεται,
Ἢ φησιν, οὐκ εἶναι βιωτὸν αὐτῷ τὸν βίον.
Εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ.
Πλὴν ἓν μόνον δέδοικα. Χρ. Φράζε τοῦ πέρι;
Ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατὲ
Ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
Νὴ τὸν Δί'. ἀλλὰ καὶ λέγουσι πάντες ὡς
Δειλότατον ἐσθ' ὁ Πλοῦτος. Πλ. Ἥκιστ', ἀλλά με
Τοιχωρύχος τις διέβαλ'. εἰσδὺς γάρ ποτε,
Οὐκ εἶχεν, εἰς τὴν οἰκίαν, οὐδὲν λαβεῖν,
Εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα.
Εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν, δειλίαν.
Μή νυν μελέτω σοι μηδέν· ὡς ἐὰν γένῃ
Ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
Βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
Πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν;
Ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
Ὁ Φοῖβος αὐτὸς, πυθικὴν σείσας δάφνην.
Κἀκεῖνος οὖν ξυνῄδει ταῦτα; Χρ. Φήμ' ἐγώ.
Ὁρᾶτε. Χρ. Μὴ φρόντιζε μηδὲν, ὦ 'γαθέ.
Ἐγὼ γὰρ εὖ τοῦτ' ἴσθι, κἂν δέῃ μ' ἀποθανεῖν,
Αὐτὸς διαπράξω ταῦτα. Κα. Κἂν βούλῃ γ', ἐγώ.
Πολλοὶ δ' ἔσονται χ' ἅτεροι νῷν ξύμμαχοι,
Ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
Παπαί. πονηροὺς γ' εἶπας ἡμῖν ξυμμάχους.
Οὔκ. ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.

Ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

Ἀλλ' ἴθι σὺ μοὶ ταχέως δραμών. Κα. Τί δρῶ, λέγε.
Χρ. Τοὺς ξυγγεωργοὺς κάλεσον (εὑρήσεις δ' ἴσως
Ἐν τοῖσιν ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους)
Ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν,
Ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
Κα. Καὶ δὴ βαδίζω· τοῦτο δὲ τὸ κρεάδιον
Τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
Χρ. Ἐμοὶ μελήσει τοῦτό γ', ἀλλ' ἀνύσας τρέχε.
Σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
Εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'. ἡ γὰρ οἰκία
Αὑτὴ 'στὶν, ἣν δεῖ χρημάτων σε τήμερον
Μεστὴν ποιῆσαι, καὶ δικαίως κἀδίκως.
Πλ. Ἀλλ' ἄχθομαι μὲν εἰσιὼν, νὴ τοὺς Θεοὺς,
Ἐς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ.
Ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
Ἢν μὲν γὰρ εἰς φειδωλὸν εἰσελθὼν τύχω,
Εὐθὺς κατώρυξέ με κατὰ τῆς γῆς κάτω.
Κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος,
Αἰτῶν λαβεῖν τι μικρὸν ἀργυρίδιον,
Ἔξαρνός ἐστι, μηδ' ἰδεῖν με πώποτε.
Ἢν δ' εἰς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
Πόρναισι καὶ κύβοισι παραβεβλημένος,
Γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ.
Χρ. Μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
Ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί.
Χαίρω τε γὰρ φειδόμενος, ὡς οὐδεὶς ἀνήρ,
Πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
Ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
Καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
Ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ. Πλ. Πείθομαι.
Χρ Τί γὰρ ἄν τις οὐχὶ πρός σε τἀληθῆ λέγοι;

ΔΡΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

## Σκηνὴ Πρώτη.

Τετράμετροι Ἰαμβικοὶ Καταληκτικοί, Δίμετροι,
Ἀνακρεόντειοι, καὶ ἄλλοι τινές.

## ΚΑΡΙΩΝ, ΚΑΙ ΧΟΡΟΣ.

Κα. Ὦ Πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες,
Ἄνδρες φίλοι, καὶ δημόται, καὶ τοῦ πονεῖν ἐρασταί.
Ἴτ', ἐγκονεῖτε, σπεύδεθ', ὡς καιρὸς οὐχὶ μέλλειν,
Ἀλλ' ἔς' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντας ἀμύνειν.
Χορ. Οὐκοῦν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
Ὡς εἰκός ἐστιν, ἀσθενεῖς γέροντας ἄνδρας ἤδη.
Σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι,
Ὅτε χάριν γ' ὁ δεσπότης ὁ σὸς κέκληκεν ἡμᾶς.
Κα. Οὐκοῦν πάλαι δήπου λέγω· σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
Ὁ δεσπότης γάρ φησιν, ὑμᾶς ἡδέως ἅπαντας
Ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
Χορ. Ἔστιν δὲ δὴ τί; καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;
Κα. Ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πόνηροι,
Ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·
Οἶμαι δὲ νὴ τὸν οὐρανόν, καὶ ψωλὸν αὐτὸν εἶναι.
Χορ. Ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φής; φράσον μοι.
Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
Κα. Πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
Χορ. Μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
Ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
Κα. Πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
Ἡγεῖσθέ μ' εἶναι, κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;

Χορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χορ. Ὡς σεμνὸς ὑπίτριπτος. αἱ κνῆμαι δέσου βοῶσιν
Ἰοὺ, ἰοὺ, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
Κα. Ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν.
Σὺ δ' οὐ βαδίζεις· ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσι.
Χορ. Διαρραγείης· ὡς μόθων εἶ, καὶ φύσει κόβαλος.
Ὅστις φενακίζεις. φράσαι δ' οὔπω τέτληκας ἡμῖν,
Ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
Οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
Δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.
Κα. Ἀλλ' οὐκ ἔτι ἂν κρύψαιμι, τὸν Πλοῦτον γὰρ, ὦνδρες, ἥκει
Ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.
Χορ. Ὄντως γὰρ ἔστι πλουσίοις ἅπασιν ἡμῖν εἶναι;
Κα. Νὴ τοὺς Θεοὺς, Μίδας μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.
Χορ. Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ βούλομαι χορεῦσαι
Ὑφ' ἡδονῆς· εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.
Κα. Καὶ μὴν ἐγὼ βουλήσομαι, Θρεττανελὸ τὸν Κύκλωπα
Μιμούμενος, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων,
Ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες·
Βληχώμενοί τε προβατίων,
Αἰγῶν τε κιναβρώντων μέλη,
Ἕπεσθ' ἀπεψωλημένοι, τράγοι δ' ἀκρατιεῖσθε.
Χορ. Ἡμεῖς δέ γ' αὖ ζητήσομεν, Θρεττανελὸ τὸν Κύκλωπα
Βληχώμενοι, σὲ τουτονὶ πεινῶντα καταλαβόντες,
Πήραν ἔχοντα, λάχανά τ' ἄγρια δροσερὰ, καὶ κραιπαλῶντα,
Ἡγούμενον τοῖς προβατίοις,
Εἰκῆ δὲ καταδαρθέντα που,
Μέγαν λαβόντες ἡμμένον σφηκίσκον, ἐκτυφλῶσαι.
Κα. Ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
Ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ,
Ἔπεισεν, ὡς ὄντας κάπρους,
Μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς,
Μι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μιμήσομαι πάντας τρόπους.
Ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας,
Ἕπεσθε μητρὶ χοῖροι.
Οὐκ οὖν σε τὴν Κίρκην γε, τὴν τὰ φάρμακ᾽ ἀνακυκῶσαν
Καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους,
Λαβόντες, ὑπὸ φιληδίας
Τὸν Λαρτίου μιμούμενοι, τῶν ὄρχεων κρεμῶμεν,
Μινθώσομέν θ᾽, ὥσπερ τράγου,
Τὴν ῥῖνα. σὺ δ᾽ Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς,
Ἕπεσθε μητρὶ χοῖροι.
Ἀλλ᾽ εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
Ὑμεῖς, ἐπ᾽ ἄλλ᾽ εἶδος τρέπε
Στ. ἐγὼ δ᾽ ἰὼν ἤδη, λάθρα
Βουλήσομαι, τοῦ δεσπότου
Λαβών τιν᾽ ἄρτον, καὶ κρέας,
Μασώμενος τὸ λοιπὸν, οὕτω τῷ κόπῳ ξυνεῖναι.

## ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ δευτέρα.

Τρίμετροι Ἰαμβικοί.

### ΧΡΕΜΥΛΟΣ, ΚΑΙ ΧΟΡΟΣ.

Χαίρειν μὲν ὑμᾶς ἐστιν ὦνδρες δημόται,
Ἀρχαῖον ἤδη προσαγορεύειν, καὶ σαπρόν.
Ἀσπάζομαι δ᾽, ὁτιὴ προθύμως ἥκετε,
Καὶ συντεταγμένως, κοὐ κατεβλακευμένως.
Ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
Ἔσεσθε, καὶ σωτῆρες ὄντες τοῦ Θεοῦ.
Θάῤῥει, βλέπειν γὰρ ἀντικρὺς δόξεις μ᾽ Ἄρη.
Δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα.

Ὥσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠστιζόμεθ᾽ ἑκάστοτ᾽ ἐν τῇ ᾽κκλησίᾳ,
Αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.
Χορ. Καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
Προσιόντα. δῆλος δ᾽ ἐστὶν, ὅτι τοῦ πράγματος
Ἀκήκοέν τι, τῇ βαδίσει καὶ τῷ τάχει.

## ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ
### Σκηνὴ τρίτη.

### Τρίμετροι Ἰαμβικοί.

### ΒΛΕΨΙΔΗΜΟΣ, ΚΑΙ ΧΡΕΜΥΛΟΣ.

Βλ. ΤΙ' ἂν οὖν τὸ πρᾶγμ᾽ εἴη; πόθεν καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ᾽ ἐξαπίνης; οὐ πείθομαι,
Καίτοι λόγος γ᾽ ἦν, νὴ τὸν Ἡρακλέα, πολὺς
Ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
Ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
Ἔστιν δέ μοι τοῦτ᾽ αὐτὸ θαυμαστὸν, χ᾽ ὅπως,
Χρηστόν τι πράττων, τοὺς φίλους μεταπέμπεται.
Οὔκουν ἐπιχώριόν τι πρᾶγμ᾽ ἐργάζεται.
Χρ. Ἀλλ᾽ οὐδὲν ἀποκρύψας ἐρῶ μὰ τοὺς Θεούς.
Ὦ Βλεψίδημ᾽, ἄμεινον ἢ χθὲς πράττομεν.
Ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.
Βλ. Γέγονας δ᾽ ἀληθῶς, ὡς λέγουσι, πλούσιος;
Χρ. Ἔσομαι μὲν οὖν αὐτίκα μάλ᾽, ἢν Θεὸς θέλῃ.
Ἔνι γάρ τις ἔτι κίνδυνος ἐν τῷ πράγματι.
Βλ. Ποῖός τις; Χρ. Οἷος. Βλ. Λέγ᾽ ἀνύσας, ὅ,τι φὴς ποτ
Χρ. Ἢν μὲν κατορθώσωμεν εὖ πράττειν ἀεί.
Ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν.
Βλ. Τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον.
Καί μ᾽ οὐκ ἀρέσκει. τό,τε γὰρ ἐξαίφνης ἄγαν

Οὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὕτως ὑπερπλουτεῖν, πό,τ' αὖ δεδοικέναι,
Πρὸς ἀνδρὸς οὐδὲν ὑγιὲς ἐστ' εἰργασμένου.
Χρ. Πῶς δ' οὐδὲν ὑγιές; Βλ. Εἴτι κεκλοφὼς, νὴ Δία,
Ἐκεῖθεν ἥκεις, ἀργύριον ἢ χρυσίον
Παρὰ τοῦ Θεοῦ. κᾆπειτ' ἴσως σοι μεταμέλει.
Χρ. Ἄπολλον ἀποτρόπαιε, μὰ Δί', ἐγὼ μὲν οὔ.
Βλ. Παῦσαι φλυαρῶν ὤ'γαθ'. οἶδα γὰρ σαφῶς.
Χρ. Σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο. Βλ. Φεῦ.
Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός.
Ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
Χρ. Οὔτι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
Βλ. Ὡς πολὺ μετέστηχ' ὧν πρότερον εἶχε τρόπων.
Χρ. Μελαγχολᾷς ὤ'νθρωπε, νὴ τὸν οὐρανόν.
Βλ. Ἀλλ' οὐδὲ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει,
Ἀλλ' ἔστιν ἐπίδηλόν τι πεπανουργηκότι.
Χρ. Σὺ μὲν οἶδ' ὃ κρώζεις, ὡς ἐμοῦ τι κεκλοφότος
Ζητεῖς μεταλαβεῖν. Βλ. Μεταλαβεῖν ζητῶ; τίνος;
Χρ. Τόδ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
Βλ. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; Χρ. Κακοδαιμονᾷς.
Βλ. Ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκας γ' οὐδένα;
Χρ. Οὐ δῆτ' ἔγωγ'. Βλ. Ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
Τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
Χρ. Κατηγορεῖς γὰρ, πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
Βλ. Ὦ τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
Ἐθέλω διαπρᾶξαι, πρὶν πυθέσθαι τὴν πόλιν,
Τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν ῥητόρων.
Χρ. Καὶ μὴν φίλος γ' ἄν μοι δοκῇς, νὴ τοὺς Θεοὺς,
Τρεῖς μνᾶς ἀναλώσας γε λογίσασθαι δώδεκα.
Βλ. Ὁρῶ τιν', ἐπὶ τοῦ βήματος καθεδούμενον
Ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων,
Καὶ τῆς γυναικὸς, κοὐ διοίσοντ' ἄντικρυς

Τῶν δ' Ἡρακλειδῶν οὐδ' ὁτιοῦν, τοῦ Παμφίλου.
Χρ. Οὐκ ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
Ἔγωγε, καὶ τοὺς δεξιοὺς, καὶ σώφρονας
Ἀπαρτὶ πλουτῆσαι ποιήσω. Βλ. Τί σὺ λέγεις;
Οὕτω πάνυ πολλὰ κέκλοφας; Χρ. Οἴμοι τῶν κακῶν,
Ἀπολεῖς. Βλ. Σὺ μὲν οὖν σεαυτὸν ὥς γ' ἐμοὶ δοκεῖς.
Χρ. Οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον ὦ μόχθηρε σὺ,
Ἔχω. Βλ. Σὺ Πλοῦτον; ὁποῖον; Χρ. Αὐτὸν τὸν Θεόν.
Βλ. Καὶ ποῦ 'στιν; Χρ. Ἔνδον. Βλ. Ποῦ;
Χρ. Παρ' ἐμοί. Βλ. Παρὰ σοί; Χρ. Πάνυ.
Βλ. Οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί; Χρ. Νὴ τοὺς Θεούς.
Βλ. Λέγεις ἀληθῆ; Χρ. Φημί. Βλ. Πρὸς τῆς ἑστίας;
Χρ. Νὴ τὸν Ποσειδῶ. Βλ. Τὸν θαλάσσιον λέγεις;
Χρ. Εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
Βλ. Εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
Χρ. Οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. Βλ. Τί φής;
Οὐ τῷ μεταδοῦναι; Χρ. Μὴ Δία, δεῖ γὰρ πρῶτα. Βλ. Τί;
Χρ. Βλέψαι ποιῆσαι νῶ. Βλ. Τίνα βλέψαι; φράσον.
Χρ. Τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γε τῷ τρόπῳ.
Βλ. Τυφλὸς γὰρ ὄντως ἐστί; Χρ. Νὴ τὸν οὐρανόν.
Βλ. Οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
Χρ. Ἀλλ' ἢν Θεοὶ θέλωσι, νῦν ἀφίξεται.
Βλ. Οὐκοῦν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινα.
Χρ. Τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ', οὔθ' ἡ τέχνη.
Βλ. Σκοπῶμεν. Χρ. Ἀλλ' οὐκ ἔστιν. Βλ. Οὐδ' ἐμοὶ δοκεῖ.
Χρ. Μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
Ἐγὼ, κατακλινεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ,
Κράτιστόν ἐστι. Βλ. Πολὺ μὲν οὖν νὴ τοὺς Θεούς.
Μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
Χρ. Καὶ δὴ βαδίζω. Βλ. Σπεῦδέ νυν. Χρ. Τοῦτ' αὐτὸ δρῶ.

ΔΡΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ τετάρτη.

Τρίμετροι Ἰαμβικοί.

ΠΕΝΙΑ, ΧΡΕΜΥΛΟΣ καὶ ΒΛΕΨΙΔΗΜΟΣ.

Πε. Ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
Τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
Ποῖ ποῖ, τί φεύγετον; οὐ μενεῖτον; Χρ. Ἡράκλεις.
Πε. Ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς.
Τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετὸν,
Ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε.
Οὔτε θεὸς, οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.
Χρ. Σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
Βλ. Ἴσως ἐρινύς ἐστιν, ἐκ τραγῳδίας.
Βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
Χρ. Ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. Βλ. Οὐκοῦν κλαύσεται.
Πε. Οἴεσθε δ' εἶναι τίνα με; Χρ. Πανδοκεύτριαν,
Ἢ λεκιθόπολιν. οὐ γὰρ ἂν τοσουτονὶ
Ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
Πε. Ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον
Ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
Χρ. Οὐκοῦν ὑπόλειπόν σοι τὸ βάραθρον γίνεται.
Ἀλλ' ἥτις εἶ, λέγειν ἐχρῆν αὐτίκα μάλα.
Πε. Ἣ σφῷ ποιήσω τήμερον δοῦναι δίκην,
Ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.
Βλ. Ἆρ' ἐστὶν ἡ καπηλὶς ἡ 'κ τῶν γειτόνων,
Ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
Πε. Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ' ἔτη.
Βλ. Ἄναξ Ἄπολλον, καὶ θεοὶ, ποῖ τις φύγει;
Χρ. Οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ περιμενεῖς; Βλ. Ἥκιστα πάντων. Χρ. Οὐ μενεῖς;
Ἀλλ᾽ ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
Βλ. Πενία γάρ ἐστιν, ὦ πόνηρ᾽, ἧς οὐδαμοῦ
Οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
Χρ. Στῆθ᾽, ἀντιβολῶ σε, στῆθι. Βλ. Μὰ Δί᾽, ἐγὼ μὲν οὔ.
Χρ. Καὶ μὴν λέγω· δεινότατον ἔργον παραπολὺ
Ἔργων ἁπάντων ἐργασόμεθ᾽, εἰ τὸν Θεὸν
Ἔρημον ἀπολιπόντε ποι φευξούμεθα,
Τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.
Βλ. Ποίοισιν ὅπλοις, ἢ δυνάμει πεποιθότε;
Ποῖον γὰρ οὐ θώρακα, ποίαν ἀσπίδα,
Οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
Χρ. Θάῤῥει. μόνος γὰρ οὗτος (οἶδ᾽) ὁ Θεὸς, ὅτι
Τροπαῖον ἀναστήσαιτο τῶν ταύτης τρόπων.
Πε. Γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
Ἐπ᾽ αὐτοφώρῳ δεινὰ δρῶντ᾽ εἰλημμένω;
Χρ. Σὺ δ᾽, ὦ κάκιστ᾽ ἀπολουμένη, τί λοιδορεῖς
Ἡμῖν προσελθοῦσ᾽, οὐδ᾽ ὁτιοῦν ἀδικουμένη;
Πε. Οὐδὲν γὰρ, ὦ πρὸς τῶν Θεῶν, νομίζετον
Ἀδικεῖν με, τὸν Πλοῦτον ποιεῖν πειρωμένω
Βλέψαι πάλιν; Χρ. Τί οὖν ἀδικοῦμεν τοῦτό σε,
Εἰ πᾶσιν ἀνθρώποις πορίζομεν ἀγαθόν;
Πε. Τί δ᾽ ἂν γ᾽ ὑμεῖς ἀγαθὸν ἐξεύροιθ᾽; Χρ. Ὅ,τι;
Σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
Πε. Ἔμ᾽ ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
Κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους; Χρ. Ὅ,τι;
Εἰ τοῦτο δρᾶν μέλλοντες, ἐπιλαθοίμεθα.
Πε. Καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον.
Τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω, μόνην
Ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
Ὑμῖν, δι᾽ ἐμέ τε ζῶντας ὑμᾶς, εἰ δὲ μή,

Ποιεῖ-

Ποιεῖτον ἤδη τοῦθ᾽, ὅ,τι γ᾽ ἂν ὑμῖν δοκῇ.
Χρ. Τουτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
Πε. Καὶ σύγε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
Ἅπανθ᾽ ἁμαρτάνοντά σ᾽ ἀποδείξειν ἐγώ,
Εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.
Βλ. Ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;
Πε. Οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν, πρὶν ἂν μάθῃς.
Βλ. Καὶ τίς δύναιτ᾽ ἂν μὴ βοᾶν, ἰοὺ, ἰοὺ,
Τοιαῦτ᾽ ἀκούων; Πε. Ὅστις ἐστὶν εὖ φρονῶν.
Χρ. Τί δῆτά σοι τίμημ᾽ ἐπιγράψω τῇ δίκῃ,
Ἐάν γ᾽ ἁλῷς. Πε. Ὅ,τι σοι δοκεῖ. Βλ. Καλῶς λέγεις.
Πε. Τὸ γὰρ αὐτό γ᾽ ἂν ἡττᾶσθε καὶ σφῷ δεῖ παθεῖν.
Βλ. Ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
Χρ. Ταύτῃ γε. νῷν δὲ δύ᾽ ἀποχρήσουσιν μόνω.
Πε. Οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ᾽; ἢ τί γ᾽ ἂν
Ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;

## ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ
### Σκηνὴ πέμπτη.

Τετράμετροι Καταληκτικοὶ, Ἀναπαιστικοὶ, Ἀριστοφάνειοι.

ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ, ΚΑΙ ΠΕΝΑΙ.

Χορ. Ἀλλ᾽ ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τηνδὶ,
Ἐν τοῖσι λόγοις ἀντιλέγοντες, μαλακὸν δ᾽ ἐνδώσετε μηδέν.
Χρ. Φανερὸν μὲν ἔγωγ᾽ οἶμαι γνῶναι τοῦτ᾽ εἶναι πᾶσιν ὁμοίως,
Ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον.
Τοὺς δὲ πονηροὺς, καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
Τοῦτ᾽ οὖν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥστε γενέσθαι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βέλημα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον
Ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοςῆ
Ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται, κοὐκ ἀπο-
λείψει.
Τοὺς δὲ πονηροὺς, καὶ τοὺς ἀθέους φευξεῖται. κᾆτα ποιήσ
Πάντας χρηςοὺς καὶ πλουτοῦντας δήπου, τά τε θεῖα σέβοντας
Καὶ τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ᾽ ἄμεινον
Βλ. Οὔτις· ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ᾽ ἀνερώτα
Χρ. Ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται
Τίς ἂν οὐχ ἡγοῖτ᾽ εἶναι μανίαν, κακοδαιμονίαν τ᾽ ἔτ
μᾶλλον;
Πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ
Ἀδίκως αὐτὰ ξυλλεξάμενοι. πολλοὶ δ᾽ ὄντες πάν
χρηςοὶ,
Πράττουσι κακῶς καὶ πεινῶσι, μετὰ σοῦ τε τὰ πλεῖς
σύνεισιν.
Οὔκουν εἶναί φημ᾽, ἢ παύσει ταῦτ᾽, ἢν βλέψῃ ποθ᾽
ὁ Πλοῦτος
Ὁδὸν, ἣν τιν᾽ ἰὼν, τοῖς ἀνθρώποις ἀγάθ᾽ ἂν μείζ
πορίσειεν.
Πε. Ἀλλ᾽ ὦ πάντων ῥᾷςτ᾽ ἀνθρώπων ἀναπεισθέντ᾽ οὐχ
γιαίνειν
Δύο πρεσβύτα ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν
Εἰ τοῦτο γένοιθ᾽, ὃ ποθεῖθ᾽ ὑμεῖς, οὔ φημ᾽ ἂν λυσι
λεῖν σφῷν.
Εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέ τ᾽ ἴσον ἑαυτ
Οὔτε τέχνην ἂν τῶν ἀνθρώπων, οὔτε σοφίαν μελετῴ
Οὐδεὶς, ἀμφοῖν δ᾽ ὑμῖν τούτοιν ἀφανισθέντοιν, ἐθελήσ
Τίς χαλκεύειν, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ τροχοποιεῖ
Ἢ σκυτοτομεῖν, ἢ πλινθουργεῖν, ἢ πλύνειν, ἢ σκ
λοδεψεῖν,

Ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

Ἢ γῆς ἀρότροις ῥήξας δάπεδον, καρπὸν Δηοῦς θε-
ρίσασθαι,
Ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν, τούτων πάντων ἀμελοῦσιν;
Χρ. Λῆρον ληρεῖς· ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νυνὶ κα-
τέλεξας Οἱ θεράποντες μοχθήσουσι.
Πε. Πόθεν οὖν ἕξεις θεράποντας;
Χρ. Ὠνησόμεθ' ἀργυρίου δήπου.
Πε. Τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
Ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;
Χρ. Κερδαίνειν βουλόμενός τις.
Ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδρα-
ποδιστῶν.
Πε. Ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς, οὐδ' ἀνδραπο-
διστὴς,
Κατὰ τὸν λόγον, ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλου-
τῶν, ἐθελήσει
Κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ, τοῦτο ποιῆσαι;
Ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς, καὶ σκάπτειν τἄλ-
λά τε μοχθεῖν,
Ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.
Χρ. Ἐς κεφαλήν σοι.
Πε. Ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται.
Οὔτε ἐν τάπησιν. τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυ-
σίου ὄντος;
Οὔτε μύροισι μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀ-
γάγησθον.
Οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλο-
μόρφων.
Καί τοι τί πλέον πλουτεῖν ἐστι, πάντων τούτων ἀποροῦντα;
Παρ' ἐμοῦ δ' ἐστὶ ταῦτ' εὔπορα πάνθ' ὑμῖν, ὧν δεῖσθον.
ἐγὼ γὰρ

Τὸν χειροτέχνίω, ὥσπερ δέσποιν', ἐπαναγκάζουσα κάθημαι,
Διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.

Χρ. Σὺ γὰρ πορίσαι τί δύναι' ἀγαθῶν, πλὴν φώδων ἐκ βαλανείου,
Καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτὸν,
Φθειρῶν γ' ἀριθμὸν, καὶ κωνώπων, καὶ ψυλλῶν οὐδὲ λέγω σοι
Ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
Ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις· ἀλλ' ἐπανίσω.
Πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος, ἀντὶ δὲ κλίνης
Στιβάδα σχοίνων, κόρεων μεστὴν· ἣ τοὺς εὕδοντας ἐγείρει.
Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου
Λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ. σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
Μαλάχης πτόρθους. ἀντὶ δὲ μάζης, φύλλ' ἰσχνῶν ῥαφανίδων.
Ἀντὶ δὲ θράνους, στάμνου κεφαλὴν κατεαγότος· ἀντὶ δὲ μάκτρας,
Πιθάκνης πλευρὰν, ἐῤῥωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
Ἀγαθῶν πᾶσι τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἰτίαν οὖσαν;

Πε. Σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ὑπεκρούσω.

Χρ. Οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.

Πε. Ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.
Ἀλλ' οὐχ οὐ μὸς τοῦτο πέπονθε βίος· οὐ μὰ Δί', οὐδέ γε μέλλει.

Πτω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστι μηδὲν ἔχοντα.
Τοῦ δὲ πένητος, ζῆν φειδόμενον, καὶ τοῖς ἔργοις προσέχοντα.
Περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέν τοι μηδ' ἐπιλείπειν.
Χρ. Ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας.
Εἰ φεισάμενος καὶ μοχθήσας, καταλείψει μηδὲ ταφῆναι.
Πε. Σκώπτειν πειρᾷ, καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας.
Οὐ γινώσκων, ὅτι τοῦ πλούτου παρέχω βελτίονας ἄνδρας
Καὶ τὴν γνώμην, καὶ τὴν ἰδέαν. παρ' αὐτῷ μὲν γὰρ ποδαλγοῦντες,
Καὶ γαστρώδεις, καὶ παχύκνημοι, καὶ πίονές εἰσιν ἀσελγῶς.
Παρ' ἐμοὶ δ' ἰσχνοὶ, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.
Χρ. Ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.
Πε. Περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν, κἀναδιδάξω
Ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ. τοῦ πλούτου δ' ἐστὶν ὑβρίζειν.
Χρ. Πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν, καὶ τοὺς τοίχους διορύττειν;
Βλ. Νὴ τὸν Δί', εἴγε δεῖ λαθεῖν αὐτὸν, πῶς οὐχὶ κόσμιόν ἐστι;
Πε. Σκέψαι τοίνυν γ' ἐν ταῖς πόλεσι τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν
Ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι.
Πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν, παραχρῆμ' ἄδικοι γεγένηνται.
Ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.
Χρ. Ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν, καίπερ σφόδρα βάσκανος οὖσα.

Ἀπὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει. μηδὲν ταύτης γε κομίσῃς
Ὅτι γε ζητεῖς τοῦτ' ἀναπείσειν ἡμᾶς, ὡς ἐστιν ἀμείνων
Πενία πλούτου.
Πε. Καὶ σύγ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις.
Χρ. Καὶ πῶς φεύγουσί σ' ἅπαντες;
Πε. Ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
Ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
Αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.
Χρ. Τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον;
Κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει, ταύτην δ' ἡμῖν ἀποπέμπει.
Πε. Ἀλλ' ὦ Κρονικαῖς γνώμαις ὄντως λημῶντε τὰς φρένας ἄμφω.
Ὁ Ζεὺς δήπου πένεται. καὶ τοῦτό γε δὴ φανερῶς σε διδάξω.
Εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν Ὀλυμπικὸν ἀγῶνα,
Ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρῃ,
Ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας
Κοτίνου στεφάνῳ· καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.
Χορ. Οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος.
Φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
Λήροις ἀναδῶν τοὺς νικῶντας, τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.
Πε. Πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι.
Εἰ πλούσιος ὢν, ἀνελεύθερός ἐσθ' οὑτωσί, καὶ φιλοκερδής.

Χρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἀλλά σέ γ' ὁ Ζεὺς ἐξολέσειε, κοτίνῳ στεφάνῳ στεφανώσας.
Τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς, ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν,
Διὰ τὴν πενίαν;
Παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι.
Εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη,
Τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας, δεῖπνον κατὰ μῆνα προσάγειν.
Τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καταθεῖναι.
Ἀλλὰ φθείρου καὶ μὴ γρύζῃς
Ἔτι μηδ' ὁτιοῦν.
Οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.
Ὦ πόλις Ἄργους, κλύεθ', οἷα λέγει;
Παύσωνα κάλει τὸν ξύσσιτον.
Τί πάθω τλήμων;
Ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.
Εἶμι δὲ ποῖ γῆς;
Ἐς τὸν Κύφων'. ἀλλ' οὐ μέλλειν,
Χρὴ σ', ἀλλ' ἀνύτειν.
Ἢ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
Μεταπέμψεσθον.
Τότε νοστήσεις· νῦν δὲ φθείρου.
Κρεῖττον γάρ μοι πλουτεῖν ἐστιν·
Σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
Νὴ Δί' ἔγωγ' οὖν ἐθέλω πλουτῶν
Εὐωχεῖσθαι μετὰ τῶν παίδων,
Τῆς τε γυναικὸς, καὶ λουσάμενος
Λιπαρὸς χωρῶν ἐκ βαλανείου.
Τῶν χειροτεχνῶν,
Καὶ τῆς πενίας καταπαρδεῖν.

ΔΡΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ
Σκηνὴ ἕκτη.

Τρίμετροι Ἰαμβικοί.

### ΧΡΕΜΥΛΟΣ, ΚΑΙ ΒΛΕΨΙΔΗΜΟΣ

Χρ. Αὕτη μὲν ἡμῖν ἡ 'πίτριπτος οἴχεται.
Ἐγὼ, καὶ σύ γ' ὡς τάχιστα τὸν Θεὸν
Ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.
Βλ. Καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
Ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.
Χρ. Ὦ παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν ἐχρῆν.
Αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
Καὶ τἄλλ', ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα.

## ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ
Σκηνὴ πρώτη.

### ΚΑΡΙΩΝ, ΚΑΙ ΧΟΡΟΣ.

Τοῦ αὐτοῦ διαφόρους μέλη, μέχρι τοῦ τέλους.

Κα. Ὦ πλεῖστα Θησείοις μεμιστυλλημένοι,
Γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις,
Ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
Ἄλλοι θ', ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.
Χορ. Τί δ' ἐστὶν, ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
Φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινός.
Κα. Ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
Μᾶλλον δ' ὁ Πλοῦτος αὐτός. ἀντὶ γὰρ τυφλοῦ,
Ἐξωμμάτωται, καὶ λελάμπρυνται κόρας,

Ἀσκλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.
Χορ. Λέγεις μοι χαράν. λέγεις μοι βοάν.
Κα. Πάρεστι χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή.
Χορ. Ἀναβοάσομαι τὸν εὔπαιδα, καὶ
Μέγα βροτοῖσι φέγγος, Ἀσκληπιόν.

## ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ

Σκηνὴ δευτέρα.

## ΓΥΝΗ, ΚΑΙ ΚΑΡΙΩΝ.

Γυ. Τίς ἡ βοή ποτ' ἐστίν; ἆρά γ' ἀγγελεῖ
Χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι,
Ἔνδον κάθημαι περιμένουσα τουτονί.
Κα. Ταχέως ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
Καὐτὴ πίῃς, φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα.
Ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
Γυ. Καὶ ποῦ 'στιν; Κα. Ἐν τοῖς λεγομένοις εἴσει τάχα.
Γυ. Πέραινε τοίνυν, ὅ,τι λέγεις ἀνύσας ποτέ.
Κα. Ἄκουε τοίνυν. ὡς ἐγὼ τὰ πράγματα,
Ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
Γυ. Μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. Κα. Μὴ τἀγαθὰ
Ἃ νῦν γεγένηται; Γυ. Μὴ μὲν οὖν τὰ πράγματα.
Κα. Ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν Θεὸν,
Ἄγοντες ἄνδρα, τότε μὲν ἀθλιώτατον,
Νῦν δ' εἴτιν' ἄλλον μακάριον κ' εὐδαίμονα,
Πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν.
Ἔπειτ' ἐλοῦμεν. Γυ. Νὴ Δί' εὐδαίμων ἄρ' ἦν
Ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.
Κα. Ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ Θεοῦ.
Ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα

Κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καθωσιώθη, πέλανος Ἡφαίσου φλογὶ,
Κατεκλίνομεν τὸν Πλοῦτον ὥσπερ εἰκὸς ἦν.
Ἡμῶν δ᾽ ἕκαστος ςιβάδα παρεκαττύετο.
Γυ. Ἦσαν δέ τινες κ᾽ ἄλλοι δεόμενοι τοῦ Θεοῦ;
Κα. Εἷς μέν γε Νεοκλείδης· ὅς ἐςι μὲν τυφλός.
Κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισεν.
Ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
Ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας,
Ἡμῖν παρήγγειλε καθεύδειν τοῦ Θεοῦ
Ὁ πρόπολος, εἰπὼν εἴτις αἴσθηται ψόφου,
Σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
Κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην. ἀλλά με
Ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη,
Ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γρᾳδίου.
Ἐφ᾽ ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
Ἔπειτ᾽ ἀναβλέψας ὁρῶ τὸν ἱερέα
Τοὺς φθοῖς ἀφαρπάζοντα, καὶ τὰς ἰσχάδας,
Ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
Περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
Εἴπου πόπανον εἴη τι καταλελειμμένον.
Ἔπειτα ταῦθ᾽ ἥγιζεν εἰς σάκταν τινά.
Κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος,
Ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσαμαι.
Γυ. Ταλάντατ᾽ ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν Θεόν;
Κα. Νὴ τοὺς Θεοὺς ἔγωγε μὴ φθάσειέ με,
Ἐπὶ τὴν χύτραν ἔχων τὰ ςέμματα.
Ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
Τὸ γρᾳΐδιον δ᾽ ὡς ᾔσθετο δή μου τὸν ψόφον,
Τὴν χεῖρ᾽ ὑφῄρει. κᾆτα συρίξας ἐγὼ
Ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις.
Ἡ δ᾽ εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κατέκειτο δ' αὐτὴν ἐντυλίξασ' ἡσυχῆ
Ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
Κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων.
Ἔπειτ' ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.
Γυ. Ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν; Κα. Οὐδέπω.
Μετὰ τοῦτο δ' ἤδη, καὶ γελοῖον δῆτά τι
Ἐποίησα. προσιόντος γὰρ αὐτοῦ, μέγα πάνυ
Ἀπέπαρδον. ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.
Γυ. Ἤπου σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο;
Κα. Οὔκ. ἀλλ' Ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα
Ὑπηρυθρίασε, χ' ἡ Πανάκει' ἀπεστράφη,
Τὴν ῥῖν' ἐπιλαβοῦσ'. οὐ λιβανωτὸν γὰρ βδέω.
Γυ. Αὐτὸς δ' ἐκεῖνος; Κα. Οὐ μὰ Δί', οὐδ' ἐφρόντισεν.
Γυ. Λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν Θεόν;
Κα. Μὰ Δί' οὐκ ἔγωγ'. ἀλλὰ σκατοφάγον. Γυ. Αἶ τάλαν.
Κα. Μετὰ ταῦτά γ' εὐθὺς ἐγὼ μὲν συνεκαλυψάμην
Δείσας. ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα
Σκοπῶν περιῄειν πάντα κοσμίως πάνυ.
Ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
Παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.
Γυ. Λίθινον; Κα. Μὰ Δί', οὐ δῆτ' οὐχὶ τόγε κιβώτιον.
Γυ. Σὺ δὲ πῶς ἑώρας ὦ κάκιστ' ἀπολούμενε.
Ὃς ἐγκεκαλύφθαι φῄς; Κα. Διὰ τοῦ τριβωνίου·
Ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας, μὰ τὸν Δία.
Πρῶτον δὲ πάντων, τῷ Νεοκλείδῃ φάρμακον,
Καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
Σκορόδων κεφαλὰς τρεῖς Τηνίων, ἔπειτ' ἔφλα.
Ἐν τῇ θυείᾳ, συμπαραμιγνύων ὀπὸν,
Καὶ σχῖνον, εἶτ' ὄξει διέμενος σφηττίῳ,
Κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα
Ὀδυνῷτο μᾶλλον, ὁ δὲ κεκραγὼς καὶ βοῶν,
Ἔφευγ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔφυγ' ἀναΐξας. ὁ δὲ Θεὸς γελάσας ἔφη·
Ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος.
Ἵν' ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.
Γυ. Ὡς φιλόπολίς τις ἔσθ' ὁ δαίμων καὶ σοφός.
Κα. Μετὰ τοῦτο, τῷ Πλούτωνι παρεκαθέζετο.
Καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο.
Ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν,
Τὰ βλέφαρα περιέψησεν. ἡ Πανάκεια δὲ
Κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι,
Καὶ πᾶν τὸ πρόσωπον. εἶθ' ὁ Θεὸς ἐπόπτυσεν.
Ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ,
Ὑπερφυεῖς τὸ μέγεθος. Γυ. Ὦ φίλοι θεοί.
Κα. Τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῆ,
Τὰ βλέφαρα περιέλειχον, ὥς γέ μοι δοκεῖν,
Καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
Ὁ Πλοῦτος ὦ δέσποιν' ἀνεστήκει βλέπων.
Ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
Τὸν δεσπότην δ' ἤγειρον. ὁ Θεὸς δ' εὐθέως
Ἠφάνισεν αὐτὸν οἵ τ' ὄφεις εἰς τὸν νεών.
Οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ (πῶς δοκεῖς;)
Τὸν Πλοῦτον ἠσπάζοντο, καὶ τὴν νύχθ' ὅλην
Ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
Ἐγὼ δ' ἐπῄνουν τὸν Θεὸν πάνυ σφόδρα,
Ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχὺ,
Τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησε τυφλόν.
Γυ. Ὅσην ἔχεις τὴν δύναμιν ὦ 'ναξ Δέσποτα.
Ἀτὰρ φράσον μοι ποῦ 'σθ' ὁ Πλοῦτος; Κα. Ἔρχεται.
Ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
Οἱ γὰρ δίκαιοι πρότερον ὄντες, καὶ βίον
Ἔχοντες ὀλίγον, αὐτὸν ἠσπάζοντο, καὶ
Ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς.

Ὅσοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ὅσοι δ᾽ ἐπλούτουν, οὐσίαν τ᾽ εἶχον συχνὴν,
Οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
Ὀφρῦς συνῆγον, ἐσκυθρώπαζόν θ᾽ ἅμα.
Οἱ δ᾽ ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
Γελῶντες, εὐφημοῦντες. ἐκτυπεῖτο δὲ,
Ἐμβὰς γερόντων, εὐρύθμοις προβήμασιν.
Ἀλλ᾽ εἶα ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
Ὀρχεῖσθε, καὶ σκιρτᾶτε, καὶ χορεύετε.
Οὐδεὶς γὰρ ἡμῖν εἰσιοῦσιν ἀγγελεῖ,
Ὡς ἄλφιτ᾽ οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
Γυ. Νὴ τὴν Ἑκάτην κἀγὼ γ᾽ ἀναδῆσαι βούλομαι
Εὐαγγέλιά σ᾽ ἐν κριβανωτῶν ὁρμαθῷ
Τοιαῦτ᾽ ἀπαγγείλαντα.
Κα. Μή νυν μέλλ᾽ ἔτι.
Ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
Γυ. Φέρε νυν ἰοῦσ᾽ εἴσω, κομίσω καταχύσματα,
Ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
Κω. Ἐγὼ δ᾽ ἀπαντῆσαί γ᾽ ἐκείνοις βούλομαι.

## ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ
Σκηνὴ τετάρτη.

Τρίμετροι Ἰαμβικοί.

## ΠΛΟΥΤΟΣ, ΧΡΕΜΥΛΟΣ, ΚΑΙ ΓΥΝΗ.

Πλ. ΚΑὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον,
Ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
Χώραν τε πᾶσαν Κέκροπος, ἥ μ᾽ ἐδέξατο.
Αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς,
Οἵοις ἄρ᾽ ἀνθρώποις ξυνὼν ἐλάνθανον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὰς ἀξίας δὲ τῆς ἐμῆς ὁμιλίας
Ἔφευγον, εἰδὼς οὐδὲν ὁ τλήμων ἐγώ.
Ὡς οὔτ' ἐκεῖν' ἄρ' οὔτε ταῦτ' ὀρθῶς ἔδρων.
Ἀλλ' αὐτὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ,
Δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις, ὅτι
Ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδουν.
Χρ. Βάλλ' ἐς κόρακας, ὡς χαλεπὸν εἰσιν οἱ φίλοι,
Οἱ φαινόμενοι παραχρῆμ', ὅταν πράττῃ τις εὖ.
Νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια
Ἐνδεικνύμενοι ἕκαστος εὔνοιάν τινα.
Ἐμὲ γὰρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
Περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;
Γυ. Ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετε.
Φέρε νῦν (νόμος γάρ ἐστι) τὰ καταχύσματα
Ταυτὶ καταχέω σου λαβοῦσα;
Πλ. Μηδαμῶς.
Ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
Πρώτιστα, καὶ βλέψαντος, οὐδὲν ἐκφέρειν.
Πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
Γυ. Εἶτ' οὐχὶ δέξῃ ταῦτα τὰ καταχύσματα;
Πλ. Ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος.
Ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
Οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ,
Ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
Προβαλόντ', ἐπὶ τούτοισιν ἐπαναγκάζειν γελᾶν.
Γυ. Εὖ πάνυ λέγεις, ὡς δὲ Ξενικὸς οὑτοσὶ
Ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ
### Σκηνὴ Πρώτη.

Τρίμετροι Ἰαμβικοί.

### ΚΑΡΙΩΝ.

Ὡς ἡδὺ πράττειν ὦνδρες ἔστ' εὐδαιμόνως,
Καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
Ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
Ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
Οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πράγματι.
Ἡ μὲν σιπύη, μεστή 'στι λευκῶν ἀλφίτων.
Οἱ δ' ἀμφορῆς, οἴνου μέλανος ἀνθοσμίου.
Ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
Τὰ σκευάρια πλήρη 'στιν, ὥστε θαυμάσαι.
Τὸ φρέαρ δ' ἐλαίου μεστόν. αἱ δὲ λήκυθοι,
Μύρου γέμουσι, τὸ δ' ὑπερῷον, ἰσχάδων.
Ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα,
Χαλκῆ γέγονε. τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
Τοὺς ἰχθυηρούς, ἀργυροῦς πάρεσθ' ὁρᾶν.
Ὁ δ' ἰπνὸς ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
Χρυσοῖς. ἀποψώμεθα δ' οὐ λίθοις ἔτι,
Ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
Καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ,
Ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος.
Ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
Ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ δευτέρα.

## ΔΙΚΑΙΟΣ, ΚΑΙ ΚΑΡΙΩΝ.

Δι. Ἕπου μετ' ἐμοῦ παιδάριον, ἵνα πρὸς τὸν Θεὸν
Ἴωμεν. Κα. Ἔα· τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
Δι. Ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
Κα. Δῆλον ὅτι τῶν χρηστῶν τις ὡς ἔοικας εἶ.
Δι. Μάλιστ'. Κα. Ἔπειτα τοῦ δέῃ; Δι. Πρὸς τὸν Θεὸν
Ἥκω. Μεγάλων γάρ μοι 'στὶν ἀγαθῶν αἴτιος.
Ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
Λαβὼν, ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
Εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
Κα. Ἦ πού σε ταχέως ἀπέλιπε τὰ χρήματα;
Δι. Κομιδῆ μὲν οὖν. Κα. Οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος;
Δι. Κομιδῆ μὲν οὖν· κἀγὼ μὲν ᾤμην οὓς τέως
Εὐηργέτησα δεομένους, ἕξειν φίλους
Ὄντως βεβαίους, εἰ δεηθείην ποτέ.
Οἱ δ' ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
Κα. Καὶ κατεγέλων γ' εὖ οἶδ' ὅτι. Δι. Κομιδῆ μὲν οὖν.
Αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
Κα. Ἀλλ' οὐχὶ νῦν. Δι. Ἀνθ' ὧν ἐγὼ πρὸς τὸν Θεὸν
Προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
Κα. Τὸ τριβώνιον δὲ τί δύναται πρὸς τῶν Θεῶν,
Ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
Δι. Καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν Θεόν.
Κα. Μῶν οὖν ἐμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;
Δι. Οὔκ. ἀλλ' ἐνεῤῥίγωσ' ἔτη τρισκαίδεκα.
Κα. Τὰ δ' ἐμβάδια; Δι. Καὶ ταῦτα συνεχειμάζετο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κα.

Κα. Καὶ ταῦτ' ἀναθήσων ἔφερες ὧν; Δι. Νὴ τὸν Δία.
Κα. Χαρίεντά γ' ἥκεις δῶρα τῷ Θεῷ φέρων.

# ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

## Σκηνὴ τρίτη.

### ΣΥΚΟΦΑΝΤΗΣ, ΚΑΡΙΩΝ, καὶ ΔΙΚΑΙΟΣ.

Συ. ΟΙ'μοι κακοδαίμων. ὡς ἀπόλωλα δείλαιος.
Καὶ τρισκακοδαίμων, καὶ τετράκις καὶ πεντάκις
Καὶ δωδεκάκις, καὶ μυριάκις. ἰοὺ, ἰού.
Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι;
Κα. Α'πολλον ἀποτρόπαιε, καὶ Θεοὶ φίλοι.
Τί ποτ' ἐστὶν ὅ, τι πέπονθεν ἄνθρωπος κακόν;
Συ. Οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα.
Α'πολωλεκὼς ἅπαντα τὰκ τῆς οἰκίας
Διὰ τὸν Θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
Πάλιν αὖθις, ἤνπερ μὴ λίπωσιν αἱ δίκαι;
Δι. Ε'γὼ σχεδὸν τὸ πρᾶγμα γινώσκειν δοκῶ.
Προσέρχεται γάρ τις κακῶς πράττων ἀνὴρ,
Ε'οικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
Κα. Νὴ Δία καλῶς τοίνυν ποιῶν, ἀπόλλυται.
Συ. Ποῦ, ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
Υ'ποσχόμενος οὗτος ποιήσειν εὐθέως,
Εἰ πάλιν ἀναβλέψειεν ἐξαρχῆς; ὁ δὲ
Πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
Κα. Καὶ τίνα δέδρακε δῆτα τοῦτ'; Συ. Ε'μὲ τουτονί.
Κα. Η' τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων.
Συ. Μὰ Δί'. οὐ μόνον οὐκ ἔσθ' ὑγιὲς ὑμῶν οὐδενὸς,
Κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
Κα. Ω'ς σοβαρὸς, ὦ Δάματερ, εἰσελήλυθεν
Ο' Συκοφάντης. Δι. Δῆλον ὅτι βουλιμιᾷ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Συ. Σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως, οὐκ ἂν φθάνοις.
Ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
Εἰπεῖν ἃ πεπανούργηκας. Κα. Οἴμωζ' ἄρα σύ.
Δι. Νὴ τὸν Δία τὸν σωτῆρα πολλοῦ γ' ἄξιος
Ἅπασι τοῖς Ἕλλησιν ὁ Θεὸς ἔσθ', ὅτι
Τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
Συ. Οἴμοι τάλας, μῶν καὶ σὺ μετέχων καταγελᾷς;
Ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
Ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
Δι. Οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
Τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου, δραχμῆς.
Κα. Ἀλλ' οὐκ ἔνεστι Συκοφάντου δήγματος.
Συ. Ἆρ' οὐχ ὕβρις πολλὴ ταῦτ' ἐστί; σκώπτετον.
Ὅτι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον,
Οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
Κα. Μὰ τὸν Δί', οὔκουν τῷ γε σῷ σάφ' ἴσθ' ὅτι.
Συ. Ἀπὸ τῶν ἐμῶν γὰρ καὶ μὰ Δία δειπνήσετον.
Δι. Ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
Διαρραγείης, μηδενὸς ἐμπεπλησμένος.
Συ. Ἀρνεῖσθον; ἔνδον ἐστὶν ὦ μιαρωτάτω
Πολὺ χρῆμά τε μαχῶν καὶ κρεῶν ὠπτημένων
Υ῟ ὖ, ὖ ὖ, ὖ ὖ, ὖ ὖ, ὖ ὖ, ὖ, ὖ.
Κα. Κακόδαιμον, ὀσφραίνει τι; Δι. Τοῦ ψύχους γ' ἴσως,
Ἐπεὶ τοιοῦτον ἀμπέχεται τριβώνιον.
Συ. Ταῦτ' οὖν ἀνάσχετ' ἐστὶν, ὦ Ζεῦ καὶ Θεοί,
Τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι,
Ὅτι χρηστὸς ὢν καὶ φιλόπολις, πάσχω κακῶς.
Δι. Σὺ φιλόπολις καὶ χρηστός; Συ. Ὡς οὐδεὶς ἀνήρ.
Δι. Καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι. Συ. Τὸ τί;
Δι. Γεωργὸς εἶ; Συ. Μελαγχολᾶν μ' οὕτως οἴει;
Δι. Ἀλλ' ἔμπορος; Συ. Ναὶ σκήπτομαί γ' ὅταν τύχω.

Δι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δι. Τί δαί; τέχνην τιν' ἔμαθες; Συ. Οὐ μὰ τὸν Δία.
Δι. Πῶς οὖν διέζης, ἢ πόθεν, μηδὲν ποιῶν;
Συ. Τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων,
    Καὶ τῶν ἰδίων πάντων. Δι. Σύ; τί μαθών;
Συ. Βούλομαι. Δι. Πῶς οὖν ἂν εἴης χρηστός, ὦ τοιχωρύχε,
    Εἴ σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει;
Συ. Οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
    Εὐεργετεῖν μ', ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
Δι. Εὐεργετεῖν οὖν ἐστὶ τὸ πολυπραγμονεῖν;
Συ. Τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις,
    Καὶ μὴ 'πιτρέπειν πότ' ἤν τις ἐξαμαρτάνῃ.
Δι. Οὐκοῦν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
    Ἄρχειν καθίστησιν. Συ. Κατηγορεῖ δὲ τίς;
Δι. Ὁ βουλόμενος. Συ. Οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
    Ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
Δι. Νὴ Δία πονηρόν γ' ἄρα προστάτην ἔχει.
    Ἐκεῖνο δ' οὐ βούλοι ἂν, ἡσυχίαν ἔχων
    Ζῆν ἀργός; Συ. Ἀλλὰ προβατίου βίον λέγεις,
    Εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
Δι. Οὐδ' ἂν μεταμάθοις; Συ. Οὐδ' ἂν εἰ δοίης γέ μοι
    Τὸν Πλοῦτον αὐτὸν, καὶ τὸ Βάττου σίλφιον.
Δι. Κατάθου ταχέως θοιμάτιον. Κα. Οὗτος, σοὶ λέγει.
Δι. Ἔπειθ' ὑπόλυσαι. Κα. Πάντα ταῦτα σοὶ λέγει.
Συ. Καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
    Ὁ βουλόμενος. Κα. Οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
Συ. Οἴμοι τάλας. ἀποδύομαι μεθ' ἡμέραν.
Κα. Σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
Συ. Ὁρᾷς ἃ ποιεῖς; ταῦτ' ἐγὼ μαρτύρομαι.
Κα. Ἀλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
Συ. Οἴμοι, περιείλημμαι μόνος. Κα. Νυνὶ βοᾷς;
Συ. Οἴμοι μάλ' αὖθις. Κα. Δὸς σύ μοι τὸν τριβώνιον,

Ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
Δι. Μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
Κα. Ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται,
Ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
Δι. Τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις, εἰπέ μοι;
Κα. Καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
Ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτωί.
Συ. Ἄπειμι. γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
Ὑμῶν. ἐὰν δὲ σύζυγον λάβω τινὰ,
Καὶ σύκινον, τὸν ἰσχυρὸν τοῦτον Θεὸν
Ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
Ὅτι καταλύει περιφανῶς εἷς ὢν μόνος
Τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν,
Τὴν τῶν πολιτῶν, οὔτε τὴν ἐκκλησίαν.
Δι. Καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
Ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε.
Ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς, θέρου.
Κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
Κα. Ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν, λαβὼν
Τῶν ὀρχιπέδων. ἰδὼν γὰρ αὐτὸν, γνώσεται
Ὅτ' ἔς' ἐκείνου τοῦ πονηροῦ κόμματος.
Νὼ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν Θεόν.

## ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ τετάρτη.

### ΓΡΑΥΣ, ΧΟΡΟΣ, ΚΑΙ ΧΡΕΜΥΛΟΣ.

Γρ. Ἆρ' ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
Ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου Θεοῦ,
Ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρ. Ἀλλ' ἴθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη.
Ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς.
Γρ. Φέρε νῦν ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά;
Χρ. Μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
Ἀλλ' ὅτι μάλιστ' ἐλήλυθας, λέγειν ἐχρῆν.
Γρ. Πέπονθα δεινὰ καὶ παράνομ' ὦ φίλτατε.
Ἀφ' οὗ γὰρ ὁ Θεὸς οὗτος ἤρξατο βλέπειν,
Ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
Χρ. Τί δ' ἐστίν; ἦπου καὶ σὺ συκοφάντρια
Ἐν ταῖς γυναιξὶν ἦσθα; Γρ. Μὰ Δί' ἐγὼ μὲν οὔ.
Χρ. Ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
Γρ. Σκώπτεις. ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
Χρ. Οὐκοῦν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;
Γρ. Ἄκουε νῦν. ἦν μοί τι μειράκιον φίλον,
Πενιχρὸν μέν, ἄλλως δ' εὐπρόσωπον καὶ καλόν,
Καὶ χρηστόν. εἰ γάρ του δεηθείην ἐγώ,
Ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς.
Ἐγὼ δ' ἐκείνῳ πάντα ταῦθ' ὑπηρέτουν.
Χρ. Τί δ' ἦν, ὅτι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε;
Γρ. Οὐ πολλά. καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.
Ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσιν
Εἰς ἱμάτιον γ', ὀκτὼ δ' ἂν εἰς ὑποδήματα.
Καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον,
Ἐκέλευσεν ἂν τῇ μητρί τε θοιμάτιον,
Πυρῶντ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.
Χρ. Οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γ'
Εἴρηκας. ἀλλὰ δῆλον, ὅτι σ' ᾐσχύνετο.
Γρ. Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας
Αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
Ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.
Χρ. Λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.

X Γρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γρ. Ἀλλ' οὐχὶ νυνὶ γ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει
Τὸν αὐτόν. ἀλλὰ πολὺ μεθέστηκε πάνυ.
Ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ,
Καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
Ἐπόντα πεμψάσης, ὑπειπούσης θ' ὅτι
Εἰς ἑσπέραν ἥξοιμι. Χρ. Τί σ' ἔδρασ', εἰπέ μοι;
Γρ. Ἅμητά τε προσέπεμψεν ἡμῖν τουτονὶ,
Ἐφ' ᾧ ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι,
Καὶ πρὸς ἐπὶ τούτοις, εἶπεν ἀποπέμπων, ὅτι
Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
Χρ. Δῆλον, ὅτι τοὺς τρόπους τὶς οὐ μοχθηρὸς ἦν·
Ἔπειτα πλουτῶν οὐκ ἔθ' ἥδεται φακῇ,
Προτοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντα κατήσθιεν.
Γρ. Καὶ μὴν προτοῦ γ' ὁσημέραι, νὴ τὼ Θεὼ,
Ἐπὶ τὴν θύραν ἐβάδιζεν αἰεὶ τὴν ἐμήν.
Χρ. Ἐπ' ἐκφοράν; Γρ. Μὰ Δί'· ἀλλὰ τῆς φωνῆς μόνον
Ἐρῶν ἀκοῦσαι. Χρ. Τοῦ λαβεῖν μὲν οὖν χάριν.
Γρ. Καὶ νὴ Δί', εἰ λυπουμένην γ' αἴσθοιτό με,
Νιττάριον ἂν καὶ βάτιον ὑπεκορίζετο.
Χρ. Ἔπειτ' ἴσως ᾔτησεν ἄν σ' ὑποδήματα.
Γρ. Μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
Ἐπὶ τῆς ἁμάξης, ὅτι προσέβλεψέν μέ τις,
Ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
Οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
Χρ. Μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.
Γρ. Καὶ τάς γε χεῖρας, παγκάλους ἔχειν μ' ἔφη.
Χρ. Ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
Γρ. Ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου.
Χρ. Εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.
Γρ. Τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
Χρ. Οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ' ἠπίστατο,

Γραὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
Γρ. Ταῦτ' οὖν ὁ Θεὸς ὦ φίλ' ἀνὲρ, οὐκ ὀρθῶς ποιεῖ,
Φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
Χρ. Τί γὰρ ποιήσει φράζε, καὶ πεπράξεται.
Γρ. Ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία,
Τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ, πάλιν μ' ἀντευποιεῖν.
Ἢ μηδ' ὁτιοῦν δίκαιον ἀγαθὸν ἔστ' ἔχειν.
Χρ. Οὔκουν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
Γρ. Ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
Χρ. Ὀρθῶς γε. νῦν δέ γ' οὐκ ἔτι ζῆν σ' οἴεται.
Γρ. Ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ', ὦ φίλτατε.
Χρ. Οὔκ. ἀλλὰ κατασέσηπας, ὥς γέ μοι δοκεῖς.
Γρ. Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.
Χρ. Εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία.
Γρ. Καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
Οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω.
Ἔοικε δ' ἐπὶ Κῶμον βαδίζειν. Χρ. Φαίνεται.
Στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.

## ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

### Σκηνὴ πέμπτη.

### Τρίμετροι Ἰαμβικοί.

## ΝΕΑΝΙΑΣ, ΓΡΑΥΣ, ΚΑΙ ΧΡΕΜΥΛΟΣ.

Νε. Ἀσπάζομαι. Γρ. Τί φησι; Νε. Ἀρχαία φίλη,
Πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανόν.
Γρ. Τάλαιν' ἐγώ, τῆς ὕβρεως ἧς ὑβρίζομαι.
Χρ. Ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑωρακέναι.
Γρ. Ποίου χρόνου ταλαίπωρ', ὃς παρ' ἐμοὶ χθὲς ἦν.
Χρ. Τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα.
Μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.

Γρ.

Γρ. Οὐκ. ἀλλ' ἀκόλαστός ἐστιν αἰεὶ τοὺς τρόπους.
Νε. Ὦ Ποντοπόσειδον καὶ Θεοὶ πρεσβυτικοὶ,
Ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει. Γρ. Ἄ, ἄ.
Τὴν δᾷδα μή μοι πρόσφερ'. Χρ. Εὖ μέντοι λέγει.
Ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,
Ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
Νε. Βούλει διὰ χρόνου πρός με παῖσαι; Γρ. Ποῖ τάλαν;
Νε. Αὐτοῦ λαβοῦσα κάρυα. Γρ. Παιδιὰν τίνα;
Νε. Πόσους ἔχεις ὀδόντας; Χρ. Ἀλλὰ γνώσομαι
Κἄγωγ'· ἔχει γὰρ τρεῖς ἴσως, ἢ τέτταρας.
Νε. Ἀπότισον. ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
Γρ. Ταλαντάτ' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
Πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
Νε. Ὄναιο μέντ' ἂν, εἴτις ἐκπλυνειέ σε.
Χρ. Οὐ δῆτ', ἐπεὶ μὲν νῦν καπηλικῶς ἔχει.
Εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
Ὄψει κατάδηλα τοῦ προσώπου γε τὰ ῥάκη.
Γρ. Γέρων ἀνὴρ ὢν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.
Νε. Πειρᾷ μὲν οὖν ἴσως σε κἀπὶ τῶν τιτθίων
Ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.
Γρ. Μὰ τὴν ἀφροδίτην οὐκ ἐμοῦ γ' ὦ βδελυρὲ σύ.
Χρ. Μὰ τὴν Ἑκάτην οὐ δῆτα. μαινοίμην γὰρ ἄν.
Ἀλλ' ὦ νεανίσκ', οὐκ ἐῶ τὴν μείρακα
Μισεῖν σε ταύτην. Νε. Ἀλλ' ἔγωγ' ὑπερφιλῶ.
Χρ. Καὶ μὴν κατηγορεῖ γέ σου. Νε. Τί κατηγορεῖ;
Χρ. Εἶναί σ' ὑβριστήν φησι, καὶ λέγειν ὅτι
Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
Νε. Ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι. Χρ. Τὸ τί;
Νε. Αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σὴν, ἐπεὶ
Οὐκ ἂν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεπον ποιεῖν.
Νῦν δ' ἄπιθι χαίρων, συλλαβὼν τὴν μείρακα.

Χρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χρ. Οἶδ' οἶδα τὸν νοῦν. οὐκ ἔτ' ἀξιοῖς ἴσως
Εἶναι μετ' αὐτῆς. Γρ. Ὁ δ' ἐπιτρέψων ἐστὶ τίς;
Νε. Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ
Ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.
Χρ. Ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
Πίνειν, συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα.
Νε. Ἀλλ' ἐστὶ κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
Χρ. Οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.
Νε. Ἀλλ' εἴσιθ' εἴσω. τῷ Θεῷ γὰρ βούλομαι
Ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούς δ' οὓς ἔχω.
Γρ. Ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι.
Νε. Ἐγὼ δέ γ' οὐκ εἴσειμι. Χρ. Θάῤῥει, μὴ φοβοῦ.
Οὐ γὰρ βιάσεται. Νε. Πάνυ καλῶς τοίνυν λέγεις.
Ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
Γρ. Βάδιζ'. ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
Χρ. Ὡς εὐτόνως ὦ Ζεῦ Βασιλεῦ τὸ γρᾴδιον,
Ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται.

## ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ

Σκηνὴ πρώτη.

Τρίμετροι Ἰαμβικοί.

## ΚΑΡΙΩΝ, ΚΑΙ ΕΡΜΗΣ.

Κα. Τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
Οὐδεὶς ἔοικεν. ἀλλὰ δῆτα τὸ θύριον
Φθεγγόμενον ἄλλως κλαυσιᾷ. Ἑρ. Σέ τοι σέ τοι
Λέγω, Καρίων ἀνάμεινον. Κα. Οὗτος, εἰπέ μοι,
Σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
Ἑρ. Μὰ Δί', ἀλλ' ἔμελλον. εἶτ' ἀνέῳξάς με φθάσας.
Ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ.
Ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία.

Ἔπει-

Ἔπειτα τοὺς θεράποντας. εἶτα τὴν κύνα.
Ἔπειτα σαυτόν. εἶτα τὴν ὗν. Κα. Εἰπέ μοι
Τί δ' ἐστίν; Ἑρ. Ὁ Ζεὺς, ὦ πόνηρε, βούλεται
Ἐς ταυτὸν ὑμᾶς συγκυκήσας τρύβλιον,
Ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
Κα. Ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
Ἀτὰρ ἐξ ὅτου γε ταῦτ' ἐπιβουλεύει ποιεῖν
Ἡμᾶς; Ἑρ. Ὁτιὴ δεινότατα πάντων πραγμάτων
Εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν
Ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτὸν, οὐ δάφνην,
Οὐ ψαιστὸν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲ ἓν
Ἡμῖν ἐπιθύει τοῖς Θεοῖς. Κα. Μὰ Δί'. οὐδέ γε
Θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.
Ἑρ. Καὶ τῶν μὲν ἄλλων μοι Θεῶν ἧττον μέλει.
Ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι. Κα. Σωφρονεῖς.
Ἑρ. Πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
Πάντ' ἀγάθ' ἕωθεν εὐθύς. οἰνοῦτταν, μέλι,
Ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν.
Νῦν δὲ πεινῶν, ἀναβάδην ἀναπαύομαι.
Κα. Οὐκοῦν δικαίως, ὅστις ἐποίεις ζημίαν
Ἐνίοτε, τοιαῦτ' ἀγάθ' ἔχων. Ἑρ. Οἴμοι τάλας,
Οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.
Κα. Ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.
Ἑρ. Οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον.
Κα. Ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
Ἑρ. Σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήσθιον.
Κα. Ὀδύνη σε πρὸς τὰ σπλάγχν' ἔοικ' ἐπιστρέφειν.
Ἑρ. Οἴμοι δὲ κύλικος, ἴσον ἴσῳ κεκραμένης.
Κα. Ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις.
Ἑρ. Ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
Κα. Εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν.

Ἑρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἑρ. Εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον,
Δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν,
Ὧν θύεθ' ὑμεῖς ἔνδον. Κα. Ἀλλ' οὐκ ἐκφορά.
Ἑρ. Καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
Ὑφέλοι, ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.
Κα. Ἐφ' ᾧτε μετέχειν αὐτὸς ὦ τοιχωρύχε.
Ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
Ἑρ. Ἔπειτα τοῦτον γ' αὐτὸς ἂν κατήσθιες.
Κα. Οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοὶ,
Ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
Ἑρ. Μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
Ἀλλ' οὖν σύνοικον πρὸς Θεῶν δέξασθέ με.
Κα. Ἔπειτ' ἀπολιπὼν τοὺς Θεοὺς ἐνθάδε μενεῖς;
Ἑρ. Τὰ γὰρ παρ' ὑμῖν ἐστὶ βελτίω πολύ.
Κα. Τί δέ γ', αὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
Ἑρ. Πατρὶς γάρ ἐστι πᾶσ', ἵν' ἂν πράττῃ τις εὖ.
Κα. Τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;
Ἑρ. Παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
Κα. Στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.
Ἑρ. Ἀλλ' ἐμπολαῖον. Κα. Ἀλλὰ πλουτοῦμεν. τί οὖν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
Ἑρ. Ἀλλὰ δόλιον τοίνυν. Κα. Δόλιον; ἥκιστά γε.
Οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.
Ἑρ. Ἀλλ' ἡγεμόνιον. Κα. Ἀλλ' ὁ Θεὸς ἤδη βλέπει.
Ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.
Ἑρ. Ἐναγώνιος τοίνυν γ' ἔσομαι· καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
Ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
Κα. Ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν.
Οὗτος γὰρ ἐξεύρηκεν αὐτῷ βιότιον.
Οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ

Σπεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπονδῶν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
Ἑρ. Οὐκοῦν ἐπὶ τούτοις εἰσίω; Κα. Καὶ πλῦνέ γε
Αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
Ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.

## ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ
### Σκηνὴ δευτέρα.

## ΙΕΡΕΥΣ ΤΟΥ ΔΙΟΣ, ΚΑΙ ΚΑΡΙΩΝ

Ἱερ. Τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;
Κα. Τί δ' ἐστὶν ὦ βέλτιστε; Ἱερ. Τί γὰρ ἄλλ' ἢ κα
Ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
Ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω.
Καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.
Κα. Ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν Θεῶν;
Ἱερ. Θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. Κα. Τίνος οὕνεκα;
Ἱερ. Ὅτι πάντες εἰσὶ πλούσιοι. καίτοι τότε
Ὅτ' εἶχον οὐδὲν, ὁ μὲν ἂν ἥκων ἔμπορος,
Ἔθυσεν ἱερεῖόν τι σωθείς. ὁ δέ τις αὖ
Δίκην ἀποφυγών. ὁ δ' ἂν ἐκαλλιερεῖτό τις,
Καὶ μετεκάλει τὸν ἱερέα. νῦν δ' οὐδὲ εἷς
Θύει τοπαράπαν οὐδὲν, οὐδ' εἰσέρχεται,
Πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.
Κα. Οὐκοῦν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις.
Ἱερ. Τὸν οὖν Δία τὸν σωτῆρα κἀυτός μοι δοκῶ
Χαίρειν ἐάσας, ἐνθάδ' αὐτοῦ καταμένειν.
Κα. Θάῤῥει. καλῶς ἔσαι γὰρ, ἢν Θεὸς θέλῃ.
Ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
Αὐτόματος ἥκων. Ἱερ. Πάντ' ἀγαθὰ τοίνυν λέ
Κα. Ἱδρυσόμεθ' οὖν αὐτίκ', ἀλλὰ περίμενε,
Τὸν πλοῦτον οὗπερ πρότερον ἦν ἱδρυμένος,

Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς Θεοῦ.
Ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
Ἵν' ἔχων προηγῇ τῷ Θεῷ σύ. Ἱερ. Πάνυ μὲν οὖν
Δρᾶν ταῦτα χρή. Κα. Τὸν Πλοῦτον ἔξω τις καλεῖ.

## ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ
Σκηνὴ τρίτη.

Τετράμετροι, καὶ Ἀναπαιστικοὶ, Ἀριστοφάνειοι.

## ΓΡΑΥΣ, ΚΑΡΙΩΝ, ΚΑΙ ΧΟΡΟΣ.

Γρ. Ἐγὼ δὲ τί ποιῶ; Κα. Τὰς χύτρας, αἷς τὸν Θεὸν
Ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
Σεμνῶς. ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.
Γρ. Ὧν δ' οὕνεκ' ἦλθον. Κα. Πάντα σοι πεπράξεται.
Ἥξει γὰρ ὁ νεανίσκος ὥς σ' εἰς ἑσπέραν.
Γρ. Ἀλλ' εἴγε μέντοι νὴ Δί', ἐγγυᾷ σύ μοι
Ἥξειν ἐκεῖνον ὡς ἐμ', οἴσω τὰς χύτρας.
Κα. Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
Αὗται ποιοῦσι. ταῖς μὲν ἄλλαις γὰρ χύτραις,
Ἡ γραῦς ἔπεστ' ἀνωτάτω, ταύτης δὲ νῦν
Τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.

## ΧΟΡΟΣ.

Οὐκ ἔτι τοίνυν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
Εἰς τοὐπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΗΣΙΟΔΟΥ

## ΤΟΥ ΑΣΚΡΑΙΟΥ ΕΡΓΑ

## ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ.

Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
Δεῦτε Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι·
Ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε,
Ῥητοί τ' ἄρρητοί τε, Διὸς μεγάλοιο ἕκητι.
Ῥεῖα μὲν γὰρ βειάει, ῥέα δὲ βειάοντα χαλέπτει,
Ῥεῖα δ' ἀείζηλον μινύθει, καὶ ἄδηλον ἀέξει·
Ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
Κλῦθι ἰδὼν ἀίων τε· δίκῃ δ' ἴθυνε θέμιστας
Τύνη· ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην.
Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
Εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσειε νοήσας,
Ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
Ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
Σχετλίη· οὔτις τήν γε φιλεῖ βροτὸς, ἀλλ' ὑπ' ἀνάγκης
Ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
Τὴν δ' ἑτέρην, προτέρην μὲν ἐγείνατο νὺξ ἐρεβεννὴ
Θῆκε δέ μιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
Γαίης τ' ἐν ῥίζῃσι, καὶ ἀνδράσι πολλὸν ἀμείνω·

Ἥ τε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἥτε καὶ ἀπάλαμνόν περ ὅμως ἐπὶ ἔργον ἐγείρει.
Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν,
Οἶκόν τ' εὖ θέσθαι, ζηλοῖ δέ τε γείτονα γείτων
Εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ.
Μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
Νείκε' ὀπιπτεύοντ', ἀγορῆς ἐπακουὸν ἐόντα.
Ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε
Ὧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
Ὡραῖος, τὸν γαῖα φέρει Δημήτερος ἀκτήν.
Τοῦ κε κορεσσάμενος. νείκεα καὶ δῆριν ὀφέλλοις
Κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
Ὧδ' ἔρδειν. ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
Ἰθείῃσι δίκαις, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ'. ἀλλά τε πολλὰ
Ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
Δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσαι.
Νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντὸς,
Οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
Ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσαιο,
Ὥστε σε κεἰς ἐνιαυτὸν ἔχειν, καὶ ἀεργὸν ἐόντα.
Αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
Ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
Ἀλλὰ Ζεὺς ἔκρυψε, χολωσάμενος φρεσὶν ᾗσιν,
Ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.
Τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
Κρύψε δὲ πῦρ· τὸ μὲν αὖθις ἐῢς πάϊς Ἰαπετοῖο



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔκλεψ' ἀνθρώποισι Διὸς παρὰ μητιόεντος
Ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
Τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς.
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδὼς,
Χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας;
Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
Τέρπωνται κατὰ θυμὸν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὥς ἔφατ'. ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
Καὶ σθένος. ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐίσκειν
Παρθενικαῖς καλὸν εἶδος ἐπήρατον. αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν,
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην,
Καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας·
Ἐν δὲ θέμεν κυνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον ἀργειφόντην.
Ὥς ἔφατ'. οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
Ἀμφὶ δὲ αἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
Πάντα δὲ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
Ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
Τεῦξε, Διὸς βουλῆσι βαρυκτύπου. ἐν δ' ἄρα φωνὴν
Θῆκε θεῶν κῆρυξ. ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες ὀλύμπια δώματ' ἔχοντες

Δῶ

Δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῆσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
Εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην,
Δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
Ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς μήποτε δῶρον
Δέξασθαι πὰρ Ζηνὸς ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
Ἐξοπίσω, μήπου τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Νόσφιν ἄτερ τε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,
Νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι γῆρας ἔδωκαν.
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
Ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισι
Ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
Ἐξέπτη, πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
Αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
Νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
Σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητιέτα Ζεύς.
Οὕτως οὔτι πη ἔστι Διὸς νόον ἐξαλέασθαι.
Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω
Εὖ καὶ ἐπισταμένως. σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
ς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν.
Ὥστε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,

Νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν. αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ᾽ ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
Θνῆσκον δ᾽ ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην. καρπὸν δ᾽ ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ᾽ ἐθελημοὶ,
Ἥσυχοι ἔργα νέμοντο, σὺν ἐσθλοῖσιν πολέεσσιν.
Αὐτὰρ ἐπεί κεν τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,
Ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων.
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ᾽ αἶαν,
Πλουτοδόται. καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετέπισθεν
Ἀργύρεον ποίησαν ὀλύμπια δώματ᾽ ἔχοντες
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ᾽ ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ᾽ ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ.
Ἀλλ᾽ ὅταν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε᾽ ἔχοντες
Ἀφραδίαις· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ᾽ ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ᾽ ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ᾽ ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος, οὕνεκα τιμὰς
Οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε.
Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ᾽ ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ᾽, οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον.

Ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ μελιᾶν, δεινόν τε, καὶ ὄμβριμον. οἷσιν ἄρηος
Ἔργ᾽ ἔμελε στονόεντα καὶ ὕβριες. οὐδέ τι σῖτον,
Ἤσθιον· ἀλλ᾽ ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν,
Ἄπλαστοι. μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ᾽ ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι.
Χαλκῷ δ᾽ εἰργάζοντο. μέλας δ᾽ οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο,
Νώνυμοι. θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας, λαμπρὸν δ᾽ ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Αὖθις ἔτ᾽ ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον
Ἀνδρῶν ἡρώων θεῖον γένος. οἳ καλέονται
Ἡμίθεοι, προτέρῃ γενεῇ κατ᾽ ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
Τοὺς μὲν ἐφ᾽ ἑπταπύλῳ Θήβῃ Καδμηΐδι γαίῃ
Ὤλεσε μαρναμένους μήλων ἕνεκ᾽ Οἰδιπόδαο.
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Εἰς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ᾽ ἠϋκόμοιο.
Ἔνθ᾽ ἤτοι τοὺς μὲν, θανάτου τέλος ἀμφεκάλυψε.
Τοῖς δὲ δίχ᾽ ἀνθρώπων βίοτον καὶ ἤθε᾽ ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι παρ᾽ ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες. τοῖσι μελιηδέα καρπὸν
Τρὶς τοῦ ἔτους θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ᾽ ἔπειτ᾽ ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν. ἀλλ᾽ ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον. οὐδέποτ᾽ ἦμαρ



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
Φθειρόμενοι. χαλεπὰς δὲ Θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος οὐδέ τε παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ.
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας,
Μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἐπέεσσι
Σχέτλιοι, οὐδὲ Θεῶν ὄπιν εἰδότες. οὐδέ μεν οἵγε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.
Χειροδίκαι. ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
Οὔτ' ἀγαθοῦ. μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
Μύθοισι σκολιοῖς ἐνέπων. ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
Δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν
Ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις. τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι. κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον Βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς.
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
Ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς,
Ἡ δ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι
Μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
Δαιμονίη, τί λέλακας; ἔχει νύ σε πολλὸν ἀρείων,

Τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν,
Δεῖπνον δ' αἴκ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
Ἄφρων δ', ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν.
Νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ τανυσίπτερος ὄρνις.
Ὦ Πέρση, σὺ δ' ἄκουε δίκης. μηδ' ὕβριν ὄφελλε.
Ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
Ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς
Ἐγκύρσας ἄτησιν. ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
Κρείσσων ἐς τὰ δίκαια. δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
Ἐς τέλος ἐξελθοῦσα. παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
Τῆς δὲ δίκης ῥόθος ἑλκομένης, ᾗ κ' ἄνδρες ἄγωσι
Δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας.
Ἡ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν
Ἠέρα ἑσσαμένη κακὸν ἀνθρώποισι φέρουσα.
Οἵ τέ μιν ἐξελάουσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
Ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
Τοῖσι τέθηλε πόλις. λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ.
Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
Ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς.
Οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
Οὐδ' ἄτη. θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον. οὔρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας.
Εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι.
Τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν.
Θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές. οὐδ' ἐπὶ νηῶν
Νείσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,

Τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς,
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
Ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσι δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν. ἀποφθινύθουσι δὲ λαοί.
Οὐδὲ γυναῖκες τίκτουσιν. μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν ὀλυμπίου. ἄλλοτε δ' αὖτε
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.
Ὦ Βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
Τήνδε δίκην. ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν ὅσοι σκολιῇσι δίκῃσι
Ἀλλήλους τρίβουσι, Θεῶν ὄπιν οὐκ ἀλέγοντες.
Τρὶς γὰρ μύριοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων.
Οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.
Ἡ δέ τε παρθένος ἐστὶ Δίκη Διὸς ἐκγεγαυῖα,
Κυδνή τ' αἰδοίη τε Θεοῖς οἳ ὄλυμπον ἔχουσιν.
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
Αὐτίκα παρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
Γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
Δῆμος ἀτασθαλίας Βασιλήων. οἳ λυγρὰ νοεῦντες
Ἄλλῃ παρκλίνουσι δίκας, σκολιῶς ἐνέποντες.
Ταῦτα φυλασσόμενοι βασιλῆες ἰθύνετε μύθους
Δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπιπάγχυ λάθεσθε.
Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.
Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας,
Καί νυ τάδ', αἴκ' ἐθέλῃσ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει
Οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.

Νῦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νῦν δ' ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
Εἴην, μήτ' ἐμὸς υἱός. ἐπεὶ κακὸν, ἄνδρα δίκαιον
Ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
Ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν.
Καί νυ δίκης ἐπάκουε. βίης δ' ἐπιλήθεο πάμπαν.
Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς
Ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ' αὐτοῖς.
Ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
Γίνεται. εἰ γάρ τις κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
Γινώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς.
Ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσας
Ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη.
Τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω μέγα νήπιε Πέρση.
Τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
Ῥηϊδίως. ὀλίγη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα Θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
Καὶ τρηχὺς τοπρῶτον. ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει,
Φρασσάμενος, τά κ' ἔπειτα, καὶ ἐς τέλος ὦσιν ἀμείνω.
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
Ὃς δέ κε μήθ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.
Ἀλλὰ σύγ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
Ἐργάζευ Πέρση Δῖον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ. φιλέῃ δὲ ἐϋστέφανος Δημήτηρ

Αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰδοίη, βιότου δὲ τεὴν πίμπλησι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ Θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
Ζώῃ κηφήνεσι κοθούροις ἴκελος ὁρμήν.
Οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
Ἐσθίοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
Ὥς κέ τοι ὡραίου βιότου πλήθουσι καλιαί.
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ', ἀφνειοί τε.
Καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
Ἔσεαι, ἠδὲ βροτοῖς. μάλα γὰρ στυγέουσιν ἀεργούς.
Ἔργον δ' οὐδὲν ὄνειδος. ἀεργίη δέ τ' ὄνειδος.
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
Πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Δαίμονι δ' οἷος ἔησθα. τὸ ἐργάζεσθαι ἄμεινον.
Εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
Εἰς ἔργον τρέψας, μελετᾷς βίου, ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
Αἰδὼς ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω·
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
Ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται (οἷά τε πολλὰ
Γίνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
Ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ)
Ῥεῖα τέ μιν μαυροῦσι Θεοί. μινύθουσι δὲ οἶκοι
Ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ' ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξει.
Ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνοι
Κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων.
Ὅς τε τευ ἀφραδίῃς ἀλιταίνεται ὀρφανὰ τέκνα.
Ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ

Νει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νεικείῃ, χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν.
Τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
Ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν,
Καδδύναμιν δ' ἔρδειν ἱερ' ἀθανάτοισι Θεοῖσιν
Ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν.
Ἄλλοτε δὴ σπονδῇσι θυέεσσί τε ἱλάσκεσθαι,
Ἠμὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ,
Ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν.
Ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι.
Τόνδε μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει.
Εἰ γάρ τοι καὶ χρῆμα ἐγχώριον ἄλλο γένηται
Γείτονες ἄζωστοι ἔκιον. ζώσαντο δὲ πηοί.
Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ,
Ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι.
Ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
Μὴ κακὰ κερδαίνειν. κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι.
Καὶ δόμεν ὅς κεν δῷ. καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκεν.
Δὼς ἀγαθή. ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε κἂν μέγα δώῃ,
Χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
Ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
Καί τε σμικρὸν ἐόν, τότ' ἐπάχνωσε φίλον κῆρ.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρὸν καταθεῖο,
Καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

Ὃς

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ὃς δ᾽ ἐπ᾽ ἐόντι φέρει, ὅδ᾽ ἀλύξεται αἴθοπα λιμόν.
Οὐδὲ τόγ᾽ εἶν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι.
Ἐσθλὸν μὲν, παρεόντος ἑλέσθαι. πῆμα δὲ θυμῷ
Χρηΐζειν ἀπεόντος. ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος, κορέσασθαι.
Μεσσόθι φείδεσθαι, δειλὴ δ᾽ ἐνὶ πυθμένι φειδώ.
Μισθὸς δ᾽ ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
Πίστεις δ᾽ ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
Αἱμύλα κωτίλλουσα τεὴν διφῶσα καλιήν.
Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ᾽ ὅγε φιλήτῃσι.
Μουνογενὴς δὲ παῖς σώζοι πατρώϊον οἶκον
Φερβέμεν. ὡς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι,
Γηραιὸς δὲ θάνοις ἕτερον παῖδ᾽ ἐγκαταλείπων.
Ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
Πλείων μὲν πλεόνων μελέτη, μείζων δ᾽ ἐπιθήκη.
Σοὶ δ᾽ εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι,
Ὧδ᾽ ἔρδειν. ἔργον δέ τ᾽ ἐπ᾽ ἔργῳ ἐργάζεσθαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΘΕΟΓΝΙΔΟΣ

## ΜΕΓΑΡΕΩΣ ΣΙΚΕΛΙΩΤΟΥ

## ΓΝΩΜΑΙ ΕΛΕΓΕΙΑΚΑΙ.

Ὦ Ἄνα Λητοῦς υἱὲ, Διὸς τέκος, οὔποτε σεῖο
  Λήσομαι ἀρχόμενος, οὐδ' ἀποπαυόμενος.
Ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
  Ἀείσω. σὺ δέ μοι κλῦθι, καὶ ἐσθλὰ δίδου.
Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητὼ,
  Φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
Ἀθανάτων κάλλιστον ἐπὶ τροχοειδεῖ λίμνῃ,
  Πᾶσα μὲν ἐπλήθη Δῆλος ἀπειρεσίη
Ὀδμῆς ἀμβροσίης, ἐγέλασε δὲ γαῖα πελώρη.
  Γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.
Ἄρτεμι θηροφόνη θύγατερ Διὸς, ἣν Ἀγαμέμνων
  Εἵσαθ' ὅτ' ἐς Τροίην ἔπλε νηυσὶ θοαῖς,
Εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
  Σοὶ μὲν τοῦτο θεὰ σμικρὸν, ἐμοὶ δὲ μέγα.
Μοῦσαι καὶ Χάριτες κοῦραι Διὸς, αἵ ποτε Κάδμου
  Ἐς γάμον ἐλθοῦσαι, καλὸν ἀείσατ' ἔπος,
Ὅττι καλὸν φίλον ἐστί. τὸ δ' οὐ καλὸν, οὐ φίλον ἐστί.
  Τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.
Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
  Τοῖς δ' ἔπεσιν· λήσει δ' οὔποτε κλεπτόμενα.
Οὐδέ τις ἀλλάξει κάκιον, τοὐσθλοῦ παρεόντος.
  Ὧδε δὲ πᾶς ἐρέει, Θεόγνιδός ἐστιν ἔπη

Τοῦ

Τοῦ Μεγαρέως, πάντας δὲ κατ᾽ ἀνθρώπους ὀνομαστοῦ.
  Ἀστοῖσιν δ᾽ οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
Οὐδὲν θαυμαστὸν Πολυπαίδη· οὐδὲ γὰρ ὁ Ζεὺς
  Οὔθ᾽ ὕων πάντας ἁνδάνει, οὔτ᾽ ἀνέχων.
Σοὶ δ᾽ ἐγὼ εὖ φρονέων ὑποθήσομαι οἷάπερ αὐτὸς,
  Κύρν᾽, ἀπὸ τῶν ἀγαθῶν, παῖς ἔτ᾽ ἐὼν, ἔμαθον.
Πέπνυσο, μηδ᾽ αἰσχροῖσιν ἐπ᾽ ἔργμασι μηδ᾽ ἀδίκοισι
    Τιμὰς μηδ᾽ ἀρετὰς ἕλκεο, μηδ᾽ ἄφενος.
Ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προσομίλει
  Ἀνδράσιν, ἀλλ᾽ αἰεὶ τῶν ἀγαθῶν ἔχεο.
Καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
  Ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
Ἐσθλῶν μὲν ἄπ᾽ ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
  Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
Ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε. καί ποτε φήσεις
  Εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.
Κύρνε, κύει πόλις ἥδε. δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
  Εὐθυντῆρα κακῆς ὕβριος ὑμετέρης.
Ἀστοὶ μὲν γὰρ ἔθ᾽ οἵδε σαόφρονες· ἡγεμόνες δὲ
  Τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.
Οὐδεμίαν πω Κύρν᾽ ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες.
  Ἀλλ᾽ ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἁδῇ,
Δῆμόν τε φθείρωσι, δίκας τ᾽ ἀδίκοισι διδῶσιν,
  Οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος.
Ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
  Μηδ᾽ εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ.
Εὖτ᾽ ἂν τοῖσι κακοῖσι φίλ᾽ ἀνδράσι ταῦτα γένηται
  Κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
Ἐκ τῶν γὰρ στάσιες ἐστὶ, καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
  Μούναρχος δὲ πόλει μήποτε τῇδε ἅδοι·
Κύρνε, πόλις μὲν ἔθ᾽ ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οἳ πρόσθ' οὔτε δίκας ᾔδεσαν, οὔτε νόμους.
Ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον.
Ἔξω δ' ὥς τ' ἔλαφοι τήνδ' ἐνέμοντο πόλιν.
Καὶ νῦν εἰσ' ἀγαθοὶ Πολυπαίδη. οἱ δὲ πρὶν ἐσθλοὶ,
Νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
Ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,
Οὔτε κακῶν γνώμας εἰδότες, οὔτ' ἀγαθῶν.
Μηδένα τῶνδε φίλον ποιεῦ Πολυπαίδη ἀστῶν
Ἐκ θυμοῦ χρείης εἵνεκα μηδεμίης.
Ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
Χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδοτιοῦν
Σπουδαῖον, γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
Ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία.
Ἀλλὰ δόλους, ἀπάτας τε, πολυπλοκίας τ' ἐφίλησαν
Οὕτως, ὡς ἄνδρες μηκέτι σωζόμενοι.
Μήποτε Κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ,
Εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι.
Ἀλλὰ μετ' ἐσθλὸν ἰὼν, βουλεύετο πολλὰ μογήσας,
Καὶ μακρὴν ποσσὶν Κύρν' ὁδὸν ἐκτελέσας.
Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσι,
Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.
Παύροισι πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
Μήποτ' ἀνήκεστον Κύρνε λάβῃς ἀνίην.
Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
Ἄξιος ἐν χαλεπῇ Κύρνε διχοστασίῃ.
Παύρους εὑρήσεις Πολυπαίδη ἄνδρας ἑταίρους,
Πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους.
Οἵτινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες,
Ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν,
Τοὺς δ' οὐκ εὑρήσεις διζήμενος, οὐδ' ἐπὶ πάντας
Ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγει.

Οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
  Αἰδὼς, οὐδ' αἰσχρὸν χρῆμ' ἐπὶ κέρδος ἄγει.
Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
  Εἴ με φιλεῖς, καί σοι πιστὸς ἔνεστι νόος.
Ἤ με φίλει, καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
  Ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
  Δεινὸς Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.
Εἴ τις ἐπαινέσει σε τόσον χρόνον, ὅσσον ὁρῴη.
  Νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἵησι κακήν,
Τοιοῦτός τοι ἑταῖρος, ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλὸς
  Ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα.
Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
  Γιγνώσκων, ὀργὴν καὶ βαρὺν ὄντα φέρει
Ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῷ
  Φράζεο, καί ποτέ με μνήσεαι ἐξοπίσω.
Μηδεὶς ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι
  Κύρνε. τί δ' ἔστ' ὄφελος, κεῖνος ἀνὴρ φίλος ὤν;
Οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο, καὶ ἄτης,
  Οὔτε κεν ἐσθλὸν ἔχων, τοῦ μεταδοῦν ἐθέλει.
Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστὶ,
  Ἴσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
Οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
  Οὔτε κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.
Ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον, ἢν δ' ἓν ἁμάρτῃς,
  Τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
Οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
  Μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.
Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
  Ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.
Πολλοί τοι πόσιος καὶ βρώσιος εἰσὶν ἑταῖροι,

Ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.
Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδὲν,
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.
Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.
Εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λέληθε,
Ψεδνὸς ἐὼν, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει,
Τοῦτο Θεὸς κιβδηλότατον ποίησε βροτοῖσι,
Καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
Οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὔτε γυναικὸς,
Πρὶν πειραθείης ὥσπερ ὑποζυγίου.
Οὐδέ κεν εἰκάσσαις, ὥσπερ ποτ' ἐς ὥριον ἐλθών.
Πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.
Μήτ' ἀρετὴν εὔχου Πολυπαΐδη, ἔξοχος εἶναι,
Μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.
Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
Ἔπλεθ', ὅσοις ὁσίης Κύρνε μέμηλε δίκης.
Οὐδεὶς Κύρν' ἄτης καὶ κέρδεος αἴτιος αὐτὸς,
Ἀλλὰ Θεοὶ τούτων δώτορες ἀμφοτέρων.
Οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς
Ἐς τέλος, εἴτ' ἀγαθὸν γίγνεται εἴτε κακόν.
Πολλάκι γὰρ δοκέων θήσειν κακὸν, ἐσθλὸν ἔθηκε,
Καί τε δοκῶν θήσειν ἐσθλὸν, ἔθηκε κακόν.
Οὐδέ τῳ ἀνθρώπων παραγίνεται ὅσσ' ἐθέλῃσι.
Ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
Ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν.
Θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον,
Οὐδείς πω ξεῖνον Πολυπαΐδη ἐξαπατήσας,
Οὐδ' ἱκέτην θνητῶν, ἀθανάτους ἔλαθε.
Βούλεο δ' εὐσεβέως ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
Ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι.
  Πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς Κύρνε, δίκαιος ἐών.
Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
  Ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι Κύρν' ἕπεται.
Ὕβριν Κύρνε θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρὶ,
  Οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.
Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
  Ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.
Μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς,
  Μηδ' ἀχρημοσύνην Κύρνε κακὴν πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλῳ,
  Ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.
Μήποτε Κύρν' ἀγορᾶσθαι ἔπος μέγα. οἶδε γὰρ οὐδεὶς
  Ἀνθρώπων, ὅ,τι νὺξ χ' ἡμέρα ἀνδρὶ τελεῖ.
Πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ, δαίμονι δ' ἐσθλῷ,
  Οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
Εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι φαύλῳ
  Μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.
Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πενιχρὸς,
  Οὔτε κακὸς, νόσφιν δαίμονος, οὔτ' ἀγαθός.
Ἀλλ' ἄλλῳ κακόν ἐστι. τὸ δ' ἀτρεκὲς, ὄλβιος οὐδεὶς
  Ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.
Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ,
  Ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία.
Θεοῖς εὔχου οἷς ἐστι μέγα κράτος. οὔτι ἄτερ θεῶν
  Γίνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά.
Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
  Καὶ γήρως πολιοῦ Κύρνε, καὶ ἠπιάλου.
Ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
  Ῥιπτεῖν, καὶ πετρῶν Κύρνε κατ' ἠλιβάτων.
Πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,

Οὔθ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.
Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίζεσθαι χαλεπῆς Κύρνε λύσιν πενίης.
Τεθνάναι φίλε Κύρνε πενιχρῷ βέλτερον ἀνδρὶ,
Ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.
Κριοὺς μὲν καὶ ὄνους διζήμεθα Κύρνε καὶ ἵππους
Εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
Βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
Ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
Οὐδεμία κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
Πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
Χρήματα μὲν τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε,
Καὶ κακὸς ἐξ ἀγαθοῦ, πλοῦτος ἔμιξε γένος.
Οὕτω μὴ θαύμαζε γένος Πολυπαΐδη ἀστῶν,
Μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.
Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
Εἰς οἴκους ἄγεται χρήμασι πειθόμενος.
Ἔνδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
Ἐντύνει, ἥ τ' ἀνδρὸς τλήμονα θῆκε νόον.
Χρήματα δ' ᾧ Διόθεν, καὶ σὺν δίκῃ ἀνδρὶ γένηται,
Καὶ καθαρῶς, αἰεὶ μὲν μόνιμον τελέθει.
Εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
Κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλὼν,
Αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν,
Αὖθις ἔγεντο κακὸν, Θεῶν δ' ὑπερέσχε νόος.
Ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον. οὐ γὰρ ἐπ' αὐτοῖς
Γίνονται μάκαρες πρήγματος ἀμπλακίης.
Ἀλλ' ὁ μὲν αὐτὸς τῖσε κακὸν χρέος; ὃς δὲ φίλοισιν
Ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν.
Ἄλλον δ' οὐ κατέμαρψε δίκη. θάνατος γὰρ ἀναιδὴς
Πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος,
  Τῆς δὲ φυγῆς ἐστι τοῦτ' ἀνιηρότερον.
Οἶνόν τοι πίνειν πουλὺν, κακόν. ἢν δέ τις αὐτὸν
  Πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθός.
Κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  Ὀργὴν συμμίσγων, ἥντιν' ἕκαστος ἔχει.
Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ
  Τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.
Νῦν μὲν τῇ δ' ἐφέπου, ποτὲ δ' ἀλλοῖος χρόα γίγνου,
  Κραιπνόν τοι σοφίη γίγνεται ἀτροπίης.
Μηδ' ἄγαν ἄσχαλλε ταρασσομένων πολιητῶν,
  Κύρνε, μέσην δ' ἔρχου τὴν ὁδὸν, ὥσπερ ἐγώ.
Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδὲν,
  Ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
Κεῖνός γ' ἄφρων ἐστὶ, νόου βεβλαμμένος ἐσθλοῦ,
  Ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
Ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι·
  Τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν,
  Οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
Διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
  Χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη.
Ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται. ἣν ὁπότε Ζεὺς
  Πέμψει τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.
Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
  Κύρν' ὀλίγης τιμῆς ἔμμορεν, ἐσθλὸς ἀνήρ.
Οὐδ' ἔτι γε πρέπει ἡμῖν ἅτ' ἀνδράσι σωζομένοισι
  Λύειν ὡς πόλεως τείχη ἁλωσομένης.
Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
  Πωτήσῃ, κατὰ γῆν πᾶσαν ἀειρόμενος
Ῥηϊδίως· θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ

Ἐν

Ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασι.
Καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
Ἐν κόσμῳ ἐρατοὶ καλά τε καὶ λιγέα
Ἄισονται, καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθμασι γαίης
Βῇς πολυκωκύτας εἰς ἀΐδαο δόμους,
Οὐδέποτ᾽ οὐδὲ θανὼν ἀπολεῖς κλέος, οὐδέ γε λήσεις,
Ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα
Κύρνε καθ᾽ Ἑλλάδα γῆν στρωφώμενος, ἠδ᾽ ἀνὰ νήσους,
Ἰχθυόεντα περῶν πόντον ἐπ᾽ ἀτρύγετον.
Οὐχ ἵππων νώτοισιν ἐφήμενος, ἀλλά σε πέμψει
Ἀγλαὰ μουσάων δῶρα ἰοστεφάνων.
Πᾶσι γὰρ, οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδὴ,
Ἔσσῃ ὁμῶς, ὄφρ᾽ ἂν γῆ τε καὶ ἠέλιος.
Αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ τυγχάνω αἰδοῦς,
Ἀλλ᾽ ὥσπερ μικρὸν παῖδα, λόγοις μ᾽ ἀπατᾷς.
Κάλλιστον τὸ δικαιότατον, λῷστον δ᾽ ὑγιαίνειν,
Πρᾶγμα δὲ τερπνότατον, οὗ τις ἐρᾷ τὸ τυχεῖν.
Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη. ἀλλὰ κάκιστον,
Ἄνδρα φέρω. καί μοι τοῦτ᾽ ἀνιηρότατον,
Πολλάκι δὴ μέλλησα, διαῤῥήξασα χαλινὸν,
Φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.
Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
Ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
Ψυχρόν μοι παρὰ τῆδε φίλοι πίνουσι τοκῆες,
Ὥσθ᾽ ἅμα θ᾽ ὑδρεύει, καί με γοῶσα φέρει.
Ἔνθα μέσην παρὰ παῖδα λαβὼν ἀγκῶν ἐφίλησα
Δειρήν. ἡ δὲ τέρεν φθέγγετ᾽ ἀπὸ στόματος.
Γνωστή τοι νεμέη, καὶ ἀλλοτρίη περ ἐοῦσα.
Οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται, οὔτε δίκας.
Πάντη γὰρ τοὔλασσον ἔχει, πάντη δ᾽ ἐπίμικτος.
Πάντῃ δ᾽ ἐχθρὰ ὁμῶς γίγνεται, ἔνθα περ ᾖ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
Γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
Τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου
Καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
Παῖδας ἐπεὶ θρέψαιο, καὶ ἄρμενα πάντα παράσχοις,
Χρήματα δ' ἐγκαταθῇς, πόλλ' ἀνιαρὰ παθών,
Τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
Καὶ στυγέουσ' ὥς περ πτωχὸν ἐπερχόμενον.
Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
Μηδεμίαν κατόπι ἀζόμενον νέμεσιν.
Δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρεστι πόλλ' ἀνελέσθαι,
Πὰρ ποδὸς ἡγεῖσθαί θ', ὡς καλὰ πάντα τιθεῖ.
Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε,
Μήθ' ὅρκῳ πίσυνος, μήτε συνημοσύνῃ.
Μηδ' εἰ Ζῆν' ἐθέλει παρέχειν βασιλῆα μέγιστον
Ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.
Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν,
Ὡς δὲ τὸ σῶσαι, οἱ πολλοὶ ἀνολβότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίγνεται ἐσθλὰ κακοῖσιν
Ἀνδρῶν, γίγνονται δ' ἐκτραπέλοισι νόμος.
Αἰδὼς μὲν γὰρ ὄλωλεν. ἀναιδείη δὲ καὶ ὕβρις
Νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.
Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
Καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη,
Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος.
Φθεγγόμενος δ' ἀδαὴς οἷσι παρῇ μέλεται.
Ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
Ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.
Οὐδ' ἐθέλει φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται.
Οὐδ' ἣν ἐκ γαστρὸς Κύρνε μιᾶς γεγόνει.
Πικρὸς καὶ γλυκὺς ἴσθι, καὶ ἁρπαλέος καὶ ἀπηνὴς

Λά-

Λάτρισι καὶ δμωσὶν, γείτοσι τ' ἀγχιθύροις.
Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
Τὸν δὲ κακὸν κινεῖν, ἔς τ' ἂν ἐς ὀρθὰ βάλῃς.
Οἱ κακοὶ, οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
Ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην.
Ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα, καὶ ὕβριν.
Ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.
Ἐν μὲν συσσιτίοισιν ἀνὴρ πεπνυμένος ἔστω.
Πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δόκει.
Εἶδε φέρειν τὰ γελοῖα. θύρηφι δὲ καρτερὸς εἴης,
Γιγνώσκων ὀργὴν, ἥντιν' ἕκαστος ἔχει.
Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις,
Πάντων ἀνθρώπων εἰμὶ δικαιότατος
Πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
Ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.
Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεὶ,
Τολμᾷ δ' οὔτ' ἀγαθοῖς κείμενος οὔτε κακοῖς.
Εἰ δὲ Θεὸς κακῷ ἀνδρὶ βίον, καὶ πλοῦτον ὀπάσσει,
Ἀφραίνων κακίην οὐ δύναται κατέχειν.
Μήποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσῃς.
Πειθόμενος χαλεπᾷ Κύρνε διαβολίῃ.
Εἴτις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο,
Οὔποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
Εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
Θνητοῖς Κύρνε· Θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.
Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα, διώκων
Κύρνε, σὺν εὐθείῃ Θεῶν δίκῃ ἀθανάτων.
Ἥσυχος, ὥς περ ἐγὼ, μέσσην ὁδὸν ἔρχεο ποσσὶν,
Μηδ' ἑτέροισι διδοὺς Κύρνε τὰ τῶν ἑτέρων.

Μή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μήποτε φεύγοντ᾽ ἄνδρα ἐπ᾽ ἐλπίδι Κύρνε φιλήσῃς.
  Οὐδὲ γὰρ οἴκαδε βὰς, γίγνεται αὐτὸς ἔτι.
Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ᾽ ἄριστα, καὶ οὕτως
  Κύρν᾽ ἕξεις ἀρετὴν, ἥντε λαβεῖν χαλεπόν.
Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν οἵ με φιλοῦσι,
  Τῶν τ᾽ ἐχθρῶν μεῖζον Κύρνε δυνησόμενον.
Χ᾽ οὕτως ἂν δοκέοιμι μετ᾽ ἀνθρώπων Θεὸς εἶναι,
  Ἤν ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.
Ἀλλὰ Ζεῦ τέλεσόν μοι ὀλύμπιε καίριον εὐχὴν,
  Δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
Τεθναίην δ᾽, εἰ μή τι κακῶν ἄμπαυμα μεριμνῶν
  Εὑροίμην, δοίης τ᾽ ἀντ᾽ ἀνιῶν ἀνίας.
Αἶσα γὰρ οὕτως ἐστί. τίσις δ᾽ οὐ φαίνεται ἡμῖν
  Ἀνδρῶν, οἳ τἀμὰ χρήματ᾽ ἔχουσι βίῃ
Συλήσαντες. ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
  Χειμάῤῥῳ ποταμῷ πάντ᾽ ἀποσεισάμενος.
Τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ᾽ ἐσθλὸς ἄροιτο
  Δαίμων, ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.
Ὦ δειλὴ πενίη. τί μένεις προλιποῦσα παρ᾽ ἄλλον
  Ἄνδρ᾽ ἰέναι; τί δέ δή μ᾽ οὐκ ἐθέλοντα φιλεῖς;
Ἀλλ᾽ ἴθι, καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ᾽ ἡμῶν
  Αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.
Τόλμα Κύρνε κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
  Εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν.
Ὥς δέπερ ἐξ ἀγαθῶν ἔλαβες κακὸν, ὣς δὲ καὶ αὖτις
  Ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.
Μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι Κύρν᾽ ἐπιφαίνειν.
  Παῦροι κηδεμόνας σῆς κακότητος ἔχεις.
Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
  Κύρν᾽, ἀποτινυμένου δ᾽ αὔξεται ἐξοπίσω.
Εὖ κώτιλλε τὸν ἐχθρόν. ὅταν δ᾽ ὑποχείριος ἔλθῃ,

Τίσαι μὲν, πρόφασιν μηδεμίαν θέμϑμος.
Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω.
Δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.
Οὐ δύναμαι γνῶναι νόον ἀστῶν ὅντιν' ἔχουσιν.
Οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.
Μωμεῦνται δέ με πολλοὶ ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί,
Μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.
Μή μ' ἀέκοντα βίῃ, κεντῶν ὑφ' ἅμαξαν ἔλαυνε.
Εἰς φιλότητα λίην Κύρνε προσελκόμϑμος.
Ζεῦ φίλε, θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
Τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν.
Ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου.
Σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον βασιλεῦ.
Πῶς δὲ σεῦ Κρονίδη τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
Ἐν ταυτῇ μοίρᾳ τόν τε δίκαιον ἔχειν,
Ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
Ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων,
Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν
Οὐδ' ὁδὸς ἣν τις ἰὼν ἀθανάτοισιν ἅδοι
Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
Ἔργων ἴσχονται θυμὸν ὁμῶς πενίης.
Μητέρ' ἀμηχανίην ἔλαβον τὰ δίκαια φιλοῦντες.
Ἥτ' ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην,
Βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης,
Τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
Χρημοσύνῃ εἴκων. ἣ δὴ κακὰ πολλὰ διδάσκει,
Ψεύδεά τ', ἐξαπάτας τ', οὐλομένας τ' ἔριδας
Ἄνδρα καὶ οὐκ ἐθέλοντα. κακὸν δέ οἱ οὐδὲν ἔοικεν.
Ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.
Ἐν πενίῃ δ' ὅτε δειλὸς ἀνὴρ, τότε πολλὸν ἀμείνων
Φαίνεται, ἔστ' ἂν δὴ χρημοσύνη κατέχῃ.

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Τοῦ μὲν γὰρ τἄδικα φρονέει νόος, οὔτε περ αἰεὶ,
  Ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύη.
Τοῦ δ' αὖ οὔτε κακοῖς ἕπεται νόος, οὔτ' ἀγαθοῖσι.
  Τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ, τά τε καὶ τὰ φέρειν.
Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους,
  Ἔντρεπε δ' ἀθανάτων μῆνιν ἀλευάμενος.
Μηδὲν ἄγαν σπεύδειν. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος,
  Ἔργμασιν ἀνθρώπων, πολλάκι δ' εἰς ἀρετὴν.
Σπεύδει ἀνὴρ, κέρδος διζήμενος, ὅν τινα δαίμων
  Πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει.
Καί οἱ ἔθηκε δοκεῖν ἃ μὲν ᾖ κακὰ, ταῦτ' ἀγάθ' εἶναι
  Εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.
Φίλτατος ὢν ἥμαρτες, ἐγὼ δέ τοι αἴτιος οὐδέν.
  Ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.
Οὐδένα θησαυρὸν παισὶ καταθήσῃ ἀμείνω
  Αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι Κύρν' ἕπεται.
Μηδενὸς ἀνθρώπων κακίας δόκει εἶναι ἑταῖρος
  Ὧ γνώμη θ' ἕπεται Κύρνε, καὶ ᾧ δύναμις.
Πίνων δ' οὐχ οὕτως θωρύξομαι, οὐδέ με οἶνος
  Ἐξάγει, ὥς τ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.
Οὐδὲν ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν,
  Πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος.
Ἐς βάσανον δ' ἐλθὼν, παρατρίβομαι ὥς τε μολίβδῳ
  Χρυσός· ὑπερτερίης δ' ἄμμιν ἔνεστι νόος.
Πολλά με καὶ συνιέντα παρέρχεται, ἀλλ' ὑπ' ἀνάγκης
  Σιγῶ, γιγνώσκων ὑμετέρην δύναμιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

# ΦΩΚΥΛΙΔΟΥ

## ΠΟΙΗΜΑ ΝΟΥΘΕΤΙΚΟΝ.

### ΕΙΣ ΦΩΚΥΛ. ΠΟΙΗΜ.

Ταῦτα δίκης ὁσίῃσι Θεοῦ βουλεύματα φαίνει
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὄλβια δῶρα.

ΜΗ'τε γαμοκλοπέειν, μήτ' ἄρσενα Κύπριν ὀρίνειν·
Μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
Μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
Ἀρκεῖσθαι παρεοῦσι. καὶ ἀλλοτρίων ἀπέχεσθαι.
Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Πρῶτα Θεὸν τίμα. μετέπειτα δὲ σεῖο γονῆας.
Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
Μὴ ῥίψῃς πενίην, ἀδίκως μὴ κρῖνε πρόσωπον.
Ἢν σὺ κακῶς δικάσῃς, σὲ Θεὸς μετέπειτα δικάσσει.
Μαρτυρίην ψευδῆ φεύγειν. τὰ δίκαι' ἀγορεύειν,
Παρθενίην τηρεῖν, πίστιν δ' ἐν πᾶσι φυλάσσειν.
Μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπὶ μέτρον ἅπασι.
Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν,
Μήτ' ἐπιορκήσῃς, μήτ' ἀγνῶς, μήτε ἑκοντί.
Ψεύδορκον στυγέει Θεὸς ἄβροτος, ὅστις ὀμόσσῃ.

Σπέρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σπέρματα μὴ κλέπτειν. ἐπαράσιμος ὅστις ἀρεῖται.
Μισθὸν μοχθήσαντι δίδου. μὴ θλῖβε πένητα.
Γλώσσῃ νοῦν ἐχέμεν. κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
Μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' αὔριον ἐλθέμεν εἴπῃς.
Πτωχῷ δ' εὐθὺ δίδου, μηδ' οὖν ἀδικοῦντα ἐάσῃς,
Πληρώσας σέο χεῖρ', ἔλεον χρήζοντι παράσχου.
Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
Χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὄλβος.
Πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
Ὧν σοι ἔδωκε Θεὸς, τούτων χρήζουσι παράσχου.
Ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.
Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν.
Εἴθε δὲ μὴ χρήζοις, μήτ' ἔννομα, μήτε ἀδίκως.
Ἢν γὰρ ἀποκτείνῃς ἐχθρὸν, σέο χεῖρα μιαίνεις.
Ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ ὑπερβῇς.
Πάντων μέτρον ἄριστον. ὑπερβασίαι δ' ἀλεειναί.
Μηδέ τιν' αὐξόμενον καρπὸν λώβησον ἀρούρης.
Ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις.
Πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου.
Χώρη δ' οὔτι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
Χρυσὸς ἀεὶ δόλος ἐστὶ, καὶ ἄργυρος, ἀνθρώποισι.
Χρυσὲ κακῶν ἀρχηγὲ, βιοφθόρε πάντα χαλέπτων,
Εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν·
Σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
Ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
Μὴ δ' ἕτερον κεύθῃς κραδίῃ νόον, ἄλλ' ἀγορεύων.
Μὴ δ' ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου.
Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνὴρ, ἀλλ' ὑπ' ἀνάγκης

Οὐκ

Οὐκ ἐρέω τὸ τέλος. βουλῇ δ' εὔθυνε ἑκάστου.
Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ.
Εἷς Θεός ἐστι σοφὸς, δυνατὸς, ἅμα καὶ πολύολβος.
Μὴ δὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ.
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν.
Πολλάκι γὰρ πλήξας, ἀέκων φόνον ἐξετέλεσας.
Ἔστω κοινὰ πάθη. μηδὲν μέγα, μήδ' ὑπέροπλον.
Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
Ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.
Ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
Ὀργὴ δ' ἐστὶν ὄρεξις. ὑπερβαίνουσα δὲ μῆνις.
Ζῆλος τῶν ἀγαθῶν ἐσθλὸς, φαύλων δ' ὑποεργός.
Τόλμα κακῶν ὀλοὴ, μέγ' ὀφέλλει δ' ἐσθλὰ πονεῦντας
Σεμνὸς ἔρως ἀρετῆς. ὁ δὲ κύπριδος αἶσχος ὀφέλλει.
Ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
Μέτρῳ μὲν φαγέειν, καὶ πιεῖν, καὶ μυθολογεύειν.
Πάντων μέτρον ἄριστον. ὑπερβασίη δ' ἀλεεινή.
Μὴ φθονέοις ἀγαθῶν ἑτάροις. μὴ μῶμον ἀνάψῃς.
Ἄφθονοι οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
Οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς,
Οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα,
Οὐ ποταμοὶ πελάγεσσιν; ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
Εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
Σωφροσύνην δ' ἀσκεῖν. αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
Μὴ μιμοῦ κακότητα, δίκῃ δ' ἀπάλειψον ἄμυναν.
Πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
Νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
Καλὸν ξεινίζειν ταχέως λιτοῖσι τραπέζαις,

Ἢ πλείσταις δολίαισι βραδυνούσαις παρὰ καιρόν.
Μηδέ ποτε χρήσῃς πικρὸς γλώσσῃ ἀνδρὶ πένητι.
Μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω.
Μητέρα δ' ἐκπρολίπῃς ἵν' ἔχῃς πάλι τῆς δε νεοττούς.
Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
Τὴν σοφίην σοφὸς ἰθύνει. τέχνας δ' ὁμότεχνος.
Οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν.
Οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
Πολλοὶ γὰρ πόσιος καὶ βρώσιος εἰσὶν ἑταῖροι,
Καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν.
Ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.
Λαὸς καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
Μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ.
Μέτρα δὲ τεῦχε θεοῖσι. τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσι.
Μὴ τύμβον φθιμένων ἀνορύξῃς, μηδ' ἀθέατα
Δείξῃς ἠελίῳ καὶ δαιμόνιον χόλον ὄρσῃς.
Οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο.
Καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
Λείψαν' ἀποιχομένων, ὀπίσω δὲ Θεοὶ τελέθονται.
Ψυχαὶ γὰρ μίμνουσιν ἀκήρειοι ἐν φθιμένοισι.
Πνεῦμα γάρ ἐστι Θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.
Σῶμα γὰρ ἐκ γαίης ἔχομεν, καὶ πάντα πρὸς αὐτὴν
Λυόμενοι κόνις ἐσμὲν, ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου. μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
Οὐκ ἔν' ἐς ᾅδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
Πάντες ἴσοι νέκυες. ψυχῶν δὲ Θεὸς βασιλεύει.
Κοινὰ μέλαθρα δόμων αἰώνια καὶ πατρίς ᾅδης,
Ξυνὸς χωρὸς ἅπασι πένησί τε καὶ βασιλεῦσιν.

Οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν.
Ψυχὴ δ' ἀθάνατος, καὶ ἀγήρως ζῇ διὰ παντός.
Μήτε κακοῖς ἄχθου. μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
Πολλάκις ἐν βιότῳ, καὶ θαρραλέοισιν ἄπιστον,
Καιρῷ λατρεύειν. μὴ δ' ἀντιπνέειν ἀνέμοισι.
Πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
Μὴ μεγαληγορέῃ τύφων, φρένα λυσσωθείης.
Εὐεπίην ἀσκεῖν, ἥτις μάλα πάντας ὀνήσει.
Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
Ὅπλον ἑκάστῳ νεῖμε Θεὸς, φύσιν ἠεροφοίτοις.
Ὄρνισι μὲν πολλὴν ταχυτῆτ', ἀλκήν τε λέουσι,
Ταύροις δ' αὐτοχύτοις κεράεσσι, κέντρα μελίσσαις
Ἔμφυτον ἄλκαρ ἔδωκε, λόγος δ' ἔρυμ' ἀνθρώποισι,
Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
Ἀγροὺς καὶ πόλιας σοφία, καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν τὸν ἀπείθαλον ἄνδρα ἄτιτον,
Ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
Πολλάκις συνθνήσκουσι κακοῖς οἱ συμπαρέοντες.
Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην.
Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.
Μοίρας πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδευής.
Μὴ κτήνους θνητοῖο βορὴν κατὰ μεῖζον ἕλκε.
Κτήνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν, συνέγειρον.
Πλαζόμενόν τε βροτὸν καὶ ἀλίτροπον μήδ' ὑπαλύξῃς.
Βέλτερον ἀντ' ἐχθροῦ τυχέειν φίλου εὐμενέοντος.
Ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
Μὴ δέ τι θηροβόρον δαίσῃ κρέας, ἀργίποσιν δὲ
Λείψανα λεῖπε κυσί, θηρῶν ἄπο θῆρες ἔδονται.
Φάρμακα μὴ τεύχειν. μαγικῶν βίβλων ἀπέχεσθαι.

Νυπιάχοις ἁπαλοῖς μὴ μάρψῃς χεῖρα βιαίως.
Φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος.
Μὴ κακὸν εὖ ἕρξῃς, σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.
Ἐργάζευ μοχθῶν, ὡς ἐξ ἰδίων βιοτεύσῃς.
Πᾶς γὰρ ἄεργος ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
Μὴ δ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης,
Ἀλλ' ἀπὸ οἰκείων βιότων φάγεοις ἀνύβριστος.
Εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
Ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλῃσθα.
Ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα.
Εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
Οὐδὲν ἄνευ καμάτου πέλοι ἀνδράσιν εὐπετὲς ἔργον,
Οὐδ' αὐτοῖς μακάρεσσι. πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
Μύρμηκες γαίης μυχάτους προλελοιπότες οἴκους
Ἔρχονται, βιότοιο κεχρημένοι, ὁπότ' ἄρουραι
Λήια κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς.
Οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
Ἢ κριθῶν, αἰεὶ δὲ φέρων φορέοντα διώκει,
Ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες
Ἄτριτον· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
Κάμνει δ' ἠεροφοῖτος, ἀριστοπόνος τε μέλισσα.
Ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν.
Ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων
Σμήνεσι μυριότρητα κατ' ἄνθεα κηροδομοῦσα.
Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμος ὄληαι.
Δός τι φύσει καὐτός. τέκε δ' ἔμπαλιν ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων.
Οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα,
Μητρυιῆς μὴ ψαῦέ γε δεύτερα λέκτρα γονῆος.
Μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
Μὴ δὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεναι εὐνήν.

Μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Σάμου

Μὴ δ' ἐπὶ παλλακίσι πατρὸς λεχέεσι μιγείης.
Μὴ δὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
Μὴ δὲ τεκοῦσα κυσὶ ῥίψῃ, καὶ γυψὶν ἕλωρα.
Μὴ δέ τις ἢ ἀλόχῳ ἐγκύμονι χεῖρα βάληται.
Μὴ δὲ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον.
Μὴ δ' ἀλόγοις ζώοις βατήσιον εἰς λέχος ἐλθεῖν.
Μὴ δ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσι.
Μὴ παραβῇς εὐνὰς φύσεως εἰς κύπριν ἄθεσμον.
Οὐδ' αὐτοῖς θήρεσσ' ἄρσην συνέβαδε ἐς εὐνήν.
Μὴ δέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
Μὴ δ' ἐς ἔρωτα γυναικῶν ἅπας ῥεύσῃς ἀκάθεκτον.
Οὐ γὰρ ἔρως Θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
Μὴ δὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
Στέργε τεὴν ἄλοχον. τί γὰρ ἥδυτερον καὶ ἄρειον,
Ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι;
Καὶ πόσις ᾗ ἀλόχῳ, μὴ δ' ἐμπέσῃ ἄνδιχα νεῖκος,
Μὴ δέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
Μὴ δὲ γυναῖκα κακὴν σοῖσιν οἴκοισιν ἄγεσθαι.
Λατρεύεις δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς
Ἵππους δ' εὐγενέας δίζεσθαι μὲν κατ' οἶκον,
Ταύρους δ' ὑψιτενόντας, ἀτὰρ σκυλάκων παναγρέας,
Γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαινόμενοι ἀφρονέοντες,
Οὐ δὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνειὸν ὄντα.
Μὴ δὲ γάμῳ γάμον ἄλλον ἄγῃς ἐπὶ πήματι πῆμα.
Παισὶ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι.
Ἢν δέ τι παῖς ἀλίτῃ, κωλυέτω υἱέα μήτηρ.
Ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.
Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμῖδος χαίτην.
Μὴ κορυφὴν πλέξῃς μὴ θ' ἅμματα λοξὰ κορύμβων.
Ἄρσεσιν οὐκ ἐπέοικε κόμη. χλιδαὶ δὲ γυναιξί.
Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μίξιν ἔρωτες.
Παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι.
Μὴ δέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσ[ῃς]
Κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσι.
Συγγενέσι φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν,
Αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
Ἕδρης καὶ γεράων πάντων. γενεῇ δ' ἀτάλαντον
Πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχε θεράπουσι.
Δούλῳ τακτὰ νέμοις, ἵνα σοι καταθύμιος εἴη.
Στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
Δοῦλον μὴ βλάψῃς τι κακηγορέων πρὸς ἄνακτα.
Λάμβανε καὶ βουλὴν παρ' οἰκέτου εὐφρονέοντος.
Ἁγνεῖαι ψυχῆς σου, σώματός εἰσι καθαρμοί.
Ταῦτα δικαιοσύνης μυστήρια οἷα βιεῦντες,
Ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδῷ.

Π

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΥΘΑΓΟΡΟΥ

## ΧΡΥΣΑ ΕΠΗ.

Ἀθανάτους μὲν πρῶτα Θεοὺς, νόμῳ ὡς διάκειται
Τίμα. καὶ σέβου ὅρκον. ἔπειθ᾽ ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.
Τῶν δ᾽ ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δ᾽ εἶκε λόγοις ἔργοισί τ᾽ ἐπωφελίμοισι.
Μηδ᾽ ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς
Ὄφρα δύνῃ, δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι. κρατεῖν δὲ ἐθίζεο τῶνδε.
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξῃς δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου,
Μήτ᾽ ἰδίῃ. πάντων δὲ μάλιστ᾽ αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
Μηδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι,
Χρήματα δ᾽ ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ᾽ ὀλέσθαι.
Ὅσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε᾽ ἔχουσιν.
Ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ᾽ ἀγανάκτει,
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ· ὧδε δὲ φράζευ.
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ᾽, ὧν μήτ᾽ ἐκπλήσσεο, μήτ᾽ ἄρ᾽ ἐάσῃς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἤν πέρ τι λέγηται,
Πράως ἴσχ'. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω.
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
Πρῆξαι μηδ' εἰπεῖν ὅ,τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ 'πίστασαι, ἀλλὰ διδάσκου
Ὅσσα χρεών. καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή,
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
Ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν, καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ. λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε·
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε Θεῶν θνητῶν τ' ἀνθρώπων
Σύστασιν. ᾗ τε ἕκαστα διέρχεται· ᾗ τε κρατεῖται.
Γνώσῃ δ', ἣ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην.
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.

Γνώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, οἵτ' ἀγαθῶν πέλας ὄντων, οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες,
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
Σύμφυτος. ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ Πάτερ ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις·
Ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος Θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΣΟΛΩΝ

## ΑΘΗΝΑΙΟΣ ΝΟΜΟΘΕΤΗΣ.

## ΕΚ ΤΩΝ ΣΟΛΩΝΟΣ

## ΕΛΕΓΕΙΩΝ ΓΝΩΜΙΚΑ.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
Ὄλβον μοι πρὸς Θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
Ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν.
Τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
Πλοῦτος δ', ὃν μὲν δῶσι Θεοὶ, παραγίγνεται ἀνδρὶ
Ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν.
Ὃν δ' ἄνδρες τιμῶσιν, ὑφ' ὕβριος οὐ κατὰ κόσμον
Ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος.
Οὐκ ἐθέλων ἕπεται, ταχέως δ' ἀναμίσγεται ἄτη.
Ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός.
Φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
Οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
Ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὥς τ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
Ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
Πυθμένα κινήσας γῆν κατὰ πυροφόρον,
Δῃώσας καλὰ ἔργα, Θεῶν ἕδος αἰπὺν ἱκάνει
Οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν.
Λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
Καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν.
Τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
Ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος.
Αἰεὶ δ' οὔτε λέληθε διαμπερὲς ὅστις ἀλιτρὸν
Θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
Ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν
Αὐτοὶ, μηδὲ Θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
Ἤλυθε πάντως, αὐτίκ' ἀναίτιοι ἔργα τίνουσιν
Οἱ παῖδες τούτων ἡγεμόνων ὀπίσω.
Θνητοὶ δ' ὧδε νοοῦμεν, ὁμῶς ἀγαθός τε κακός τε
Ἐσθλὴν ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει,
Πρίν τι παθεῖν. τότε δ' αὖθις ὀδύρεται. ἄχρι δὲ τούτου.
Χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
Χ' ὥστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
Ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
Ἄλλος δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
Καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων.
Εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
Κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
Σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
Ἐν νηυσὶ χρῄζων οἴκαδε κέρδος ἄγειν
Ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
Φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.
Ἄλλος γῆν τέμνων πολυδένδρεον, εἰς ἐνιαυτὸν
Λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει.

Ἀλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
  Ἀργαλέον χειροῖν ξυλλέγεται βίοτον.
Ἄλλος ὀλυμπιάδων Μουσέων παρὰ δῶρα διδαχθεὶς,
  Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
Ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
  Ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
Ὧ συνομαρτήσωσι Θεοί· τὰ δὲ μόρσιμα πάντως
  Οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
Ἄλλοι παιῶνος πολυφαρμάκου ἔργα ἔχοντες
  Ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
Πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
  Κοὔτις λύσαιτ' ἂν ἤπια φάρμακα δούς.
Τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε,
  Ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν.
  Δῶρα δ' ἄφυκτα Θεῶν γίγνεται ἀθανάτων.
Πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν· οὐδέ τις οἶδεν
  Ἧ σχήσειν μέλλει, χρήματος ἀρχομένου.
Ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προνοήσας,
  Εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε.
Τῷ δὲ κακῶς ἔρδοντι Θεὸς περὶ πάντα δίδωσι
  Συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
Πλούτου δὲ οὐδὲν τέρμα περασμένον ἀνδράσι κεῖται.
  Οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
Διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
  Κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι.
Ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται· ἣν ὁπόταν Ζεὺς
    Πέμψῃ τισομένην, ἄλλοτε ἄλλος ἔχει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΟΜΗΡΟΥ

## ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

Ἀρχόμενος πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
Ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
Ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
Δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
Εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι·
Πῶς Μύες ἐν Βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
Γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων,
Ὡς λόγος ἐν θνητοῖσιν ἔην. τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος Γαλέης κίνδυνον ἀλύξας,
Πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον
Ὕδατι τερπόμενος μελιηδέϊ. τὸν δὲ κατεῖδε
Λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον.
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας;
Πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
Εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω,
Δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
Εἰμὶ δ' ἐγὼ Βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
Τιμῶμαι, Βατράχων ἡγούμενος ἤματα πάντα.
Καί με πατὴρ Πηλεύς ποτε γείνατο, Ὑδρομεδούσῃ
Μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο.
Καί σε ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων.
Σκηπτοῦχον βασιλῆα, καὶ ἐν πολέμοισι μαχητὴν
Ἔμμεναι. ἀλλ' ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.

Τόν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν δ' αὖ Ψιχάρπαξ ἠμείβετο, φώνησέν τε.
Τίπτε γένος τοὐμὸν ζητεῖς φίλε, δῆλον ἅπασιν
Ἀνθρώποις τε, Θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς;
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι. εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος. ἡ δέ νυ μήτηρ
Λειχομύλη θυγάτηρ Πτερνοτρώκτου βασιλῆος.
Γείνατο δ' ἐν καλύβῃ με, καὶ ἐξεθρέψατο βρωτοῖς,
Σύκοις, καὶ καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσι.
Πῶς δὲ φίλον ποιῇ με, τὸν εἰς φύσιν οὐδὲν ὁμοῖον;
Σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν. αὐτὰρ ἔμοιγε
Ὅσσα παρ' ἀνθρώποις τρώγειν ἔθος. οὐδέ με λήθει
Ἄρτος τρισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο.
Οὐ δὲ πλακοῦς τανύπεπλος ἔχων πολλὴν σισαμίδα,
Οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,
Οὐ δὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος.
Οὐ χρηστὸν μελίτωμα, τὸ καὶ Μάκαρες ποθέουσιν,
Οὐ δ' ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι
Κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
Οὐ δὲ ποτ' ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτήν.
Ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν, προμάχοισιν ἐμίχθην.
Οὐ δέδι' ἄνθρωπον, καίπερ μέγα σῶμα φοροῦντα.
Ἀλλ' ἐπὶ λέκτρον ἰὼν, ἄκρον δάκτυλον καταδάκνω,
Καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἵκανεν ἄνδρα.
Νήδυμος οὐκ ἀπέφυγεν ὕπνος, δάκνοντος ἐμεῖο.
Ἀλλὰ δύω μάλα πάντα τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
Κίρκον, καὶ Γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
Καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος.
Πλεῖστον δὲ Γαλέην περιδείδια, ἥτις ἀρίστη,
Ἣ καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
Οὐ τρώγω ῥαφανῖδας, οὐ κράμβας, οὐ κολοκύνθας.
Οὐ τεύτλοις χλωροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις.

Ταῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ταῦτα γὰρ ὑμῶν ἐστιν ἐδέσματα τῶν κατὰ λίμνην.
Πρὸς τάδε μειδήσας Φυσίγναθος, ἀντίον ηὔδα.
Ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι. ἔστι καὶ ἡμῖν
Πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονὶ, θαύματ' ἰδέσθαι.
Ἀμφίβιον γὰρ ἔδωκε νομὴν Βατράχοισι Κρονίων,
Σκιρτῆσαι κατὰ γῆν, καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.
Αἴρω σ' ἐν νώτοισι, κράτει δέ με, μή ποτ' ὄληαι.
Ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου. ὁ δ' ἔβαινε τάχιστα,
Χεῖρας ἔχων ἁπαλοῖο κατ' αὐχένος ἅλματι κούφῳ,
Καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
Νήξει τερπόμενος Φυσιγνάθου, ἀλλ' ὅτε δὴ ῥα
Κύμασι πορφυρέοις ἐπεκλύζετο, πολλὰ δακρύων,
Ἄχρηστον μετάνοιαν ἐμέμφετο. τίλλε δὲ χαίτας,
Καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος. ἐν δέ οἱ ἦτορ
Πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλετ' ἰδέσθαι.
Δεινὰ δ' ἐπεστονάχιζε, φόβου κρυόεντος ἀνάγκῃ.
Οὐρὴν μὲν πρῶτ' ἔπλασ' ἐφ' ὕδασιν, ἠΰτε κώπην
Σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι·
Ὕδασι πορφυρέοισιν ἐκλύζετο· πολλὰ δ' ἐβόα,
Καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευεν.
Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
Ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην,
Ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον
Βάτραχος, ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ·
Ὕδρος δ' ἐξαπίνης ἀνεφαίνετο δεινὸν ὅραμα
Ἀμφοτέροις, ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.
Τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔτι νοήσας
Οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμεναι κατὰ λίμνην.
Δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.

Κεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ.
Χεῖρας δ' ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζε.
Πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
Λακτίζων ἀνέδυνε. μόρον δ' οὐκ ἦν ὑπαλύξαι.
Δευόμεναι δὲ τρίχες πλεῖστον βάρος εἷλκον ἐπ' αὐτῷ.
Ὕδασι δ' ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους.
Οὐ λήσεις γε Θεοὺς Φυσίγναθε ταῦτα ποιήσας,
Ναυηγὸν ῥίψας ἀπὸ σώματος ὡς ἀπὸ πέτρης.
Οὐκ ἄν με κατὰ γαῖαν ἀμείνων ἦσθα κάκιστε.
Παγκρατίῳ τε, πάλῃ τε, καὶ ἐς δρόμον. ἀλλὰ πλανήσας
Εἰς ὕδωρ μ' ἔρριψας. ἔχει Θεὸς ἔκδικον ὄμμα.
Ποινὴν σὺ τίσεις Μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις.
Ταῦτ' εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι. τὸν δὲ κατεῖδε
Λειχοπίναξ, ὄχθῃσιν ἐφεζόμενος μαλακῇσι.
Δεινὸν δ' ἐξολόλυξε· δραμὼν δ' ἤγγελε Μύεσιν.
Ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
Καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθρον
Κηρύσσειν ἀγορὴν δ' ἐς δώματα Τρωξάρταο
Πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην
Ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθας
Ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
Ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτον ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον.
Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
Ἐκ Βατράχων, ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
Εἰμὶ δ' ἐγὼ δύστηνος, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
Καὶ τὸν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
Ἐχθίστη Γαλέη, τρώγλης ἔκτοσθεν ἑλοῦσα.
Τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν,
Καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
Ἣν παγίδα καλέουσι Μυῶν ὀλέτειραν ἐοῦσαν.

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ τρίτος ἦν ἀγαπητὸς ἐμοὶ, καὶ μητέρι κεδνῇ,
Τοῦτον ἀπέπνιξεν Φυσίγναθος ἐς βυθὸν ἄξας.
Ἀλλ' ἄγεθ' ὁπλισόμεσθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτούς,
Σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.
αῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
Καὶ τοὺς μὲν ῥ' ἐκόρυσσεν Ἄρης πολέμοιο μεμηλώς.
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκαν,
Ῥίξαντες κυάμους χλωροὺς, εὖτ' ἀσκήσαντες,
Οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
Θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν,
Οὓς, Γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
Ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον. ἡ δέ νυ λόγχη,
Εὐμήκεις βελόναι, παγχάλκεον ἔργον Ἄρηος.
Ἡ δὲ κόρυς, τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
Οὕτω μὲν Μύες ἦσαν ἔνοπλοι. Ὡς δ' ἐνόησαν
Βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος· εἰς δ' ἕνα χῶρον
Ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο.
Σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις, ἤ τίς ὁ θρῦλλος,
Κῆρυξ ἐγγύθεν ἦλθε, φέρων σκῆπτρον μετὰ χερσὶ,
Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος,
Ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον.
' βάτραχοι, Μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
Εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε, μάχην τε.
Εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὃν κατέπεφνεν
Ὑμέτερος Βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε,
Οἵτινες βατράχοισιν ἀριστῆες γεγάατε.
'ς εἰπὼν ἀπέφηνε. λόγος δ' εἰς οὔατα Μυῶν
Εἰσελθὼν, ἐτάραξε φρένας Βατράχων ἀγερώχων.
Μεμφομένων δ' αὐτῶν, Φυσίγναθος εἶπεν ἀναστάς.
φίλοι, οὐκ ἔκτεινον ἐγὼ Μῦν, οὐδὲ κατεῖδον
Ὀλλύμενον· πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
Νή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νύξεις τὰς βατράχων μιμούμενος. οἱ δὲ κάκιστοι
Νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον. ἀλλ' ἄγε βουλὴν
Ζητήσωμεν, ὅπως δολίους Μύας ἐξολέσωμεν.
Τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Σώματα κοσμήσαντες, εὔοπλοι στῶμεν ἅπαντες
Ἄκροις παρὰ χείλεσιν, ὅπου κατάκρημνος ὁ χῶρος.
Ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
Δραξάμενοι κορύθων, ὅς τις σχεδὸν ἀντίος ἔλθοι,
Ἐς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
Οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,
Στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὣς ἄρα φωνήσας, ὅπλοις ἐνέδυσεν ἅπαντας.
Φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν.
Θώρηκας δ' εἶχον χλοερῶν πλατέων ἀπὸ τεύτλων.
Φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν.
Ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει
Καὶ κόρυθες κοχλιῶν λεπτῶν κάρατ' ἀμφεκάλυπτον.
Φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσι,
Σείοντες λόγχας, θυμοῦ δ' ἔπλητο ἕκαστος.
Ζεὺς δὲ Θεοὺς καλέσας εἰς Οὐρανὸν ἀστερόεντα,
Καὶ πολέμου πληθὺν δείξας, κρατερούς τε μαχητὰς
Πολλοὺς καὶ μεγάλους, ἠδ' ἔγχεα μακρὰ φέροντας,
Οἷος Κενταύρων στρατὸς ἔρχεται, ἠδὲ Γιγάντων,
Ἡδὺ γελῶν ἐρέεινε. τίνες Βατράχοισιν ἀρωγοὶ,
Ἢ Μυσὶν Ἀθανάτων; καὶ Ἀθηναίην προσέειπεν·
Ὦ θύγατερ, Μυσὶν ἦ ῥ' ἐπαλεξήσουσα πορεύσῃ;
Καὶ γὰρ σοῦ κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
Κνίσσῃ τερπόμενοι, καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ' ἔφη Κρονίδης. τὸν δὲ προσέειπεν Ἀθήνη·
Ὦ Πάτερ, οὐκ ἄν πώποτ' ἐγὼ Μυσὶ τειρομένοισιν
Ἐλθοίμην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν.

Σπέρ-

Στέμματα βλάπτοντες, καὶ λύχνους εἵνεκ' ἐλαίου.
Τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
Πέπλον μου κατέτρωξαν, ὃν ἐξύφηνα καμοῦσα
Ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα.
Τρώγλας τ' ἐμποίησαν. ὁ δ' ἠπητής μοι ἐπέστη,
Καὶ πράσει με τόκους· τοῦτο χάριν ἐξώργισμαι.
Χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.
Ἀλλ' οὐδ' ὡς Βατράχοισι ἀρηγέμεν οὐκ ἐθελήσω.
Εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι. ἀλλά με πρῶτον
Ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,
Ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες
Οὐδ' ὀλίγον καταμῦσαι. ἐγὼ δ' ἄϋπνος κατεκείμην
Τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
Ἀλλ' ἄγε παυσώμεθα Θεοὶ τούτοισιν ἀρήγειν,
Μή κέ τις ὑμμείων τρωθῇ βέλει ὀξυόεντι.
Εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ Θεὸς ἀντίος ἔλθοι.
Πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ' ἔφη. τῇ δ' αὖτε πεπείθοντο Θεοὶ ἄλλοι
Πάντες. ὁμῶς δὲ ἀολλέες ἤλυθον εἰς ἕνα χῶρον.
Κὰδδ' ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε.
Καὶ τότε Κώνωπες μεγάλας σάλπιγγας ἔχοντες,
Δεινὸν ἐσάλπιζον πολέμου κτύπον. οὐρανόθεν δὲ
Ζεὺς Κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' Ὑψιβόας Λειχήνορα οὔτασε δουρὶ
Ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ,
Κὰδδ' ἔπεσε πρηνὴς, ἁπαλὰς δ' ἐκόνισεν ἐθείρας.
Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλείωνα,
Πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ. τὸν δὲ πεσόντα
Εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
Σευτλαῖος δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον.
Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν.



Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας

Ἤριπε δὲ πρηνής, ψυχὴ δὲ μελέων ἐξέπτη.
Λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,
Τρωγλοδύτην πέτρῳ μυλοειδέϊ τρῶσεν ἐπιφθάς,
Αὐχένα παρὰ μέσον. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
Λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, οὐδ' ἀφάμαρτε, καθ' ἧπαρ. ὡς δ' ἐνόησε
Κραμβοφάγος ὄχθαισι βαθείαις ἔμπεσε φεύγων,
Ἀλλ' οὐδ' ὡς ἀπέληγεν ἐν ὕδασιν, ἤλασε δ' αὐτόν,
Κάππεσε δ', οὐκ ἀνένευσεν. ἐβάπτετο δ' αἵματι λίμνη
Πορφυρέῳ. αὐτὸς δὲ παρ' ἠϊόν' ἐξετανύσθη,
Χορδῇσι λιπαρῇσί τε πορνύμενος λαγόνεσσιν.
Λιμνήσιος δ' ὄχθαισι Τυρόγλυφον ἐξενάριξε.
Πτερνογλύφον δὲ ἰδὼν Καλαμίνθιος, εἰς φόβον ἦλθεν,
Ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
Ὑδρόχαρις δέ τε πέφνε Πτερνοφάγον βασιλῆα,
Χερμαδίῳ πλήξας κατὰ βρέγματος. ἐγκέφαλος δὲ
Ἐκ ῥινῶν ἔσταζε. παλάσσετο δ' αἵματι γαῖα.
Λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα Βορβοροκοίτην
Ἔγχει ἐπαΐξας. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πρασσοφάγος δ' ἐσιδὼν, ποδὸς εἵλκυσε Κνισσοδιώκτην,
Ἐν λίμνῃ δ' ἀπέπνιξε, κρατήσας χειρὶ τένοντα.
Ψιχάρπαξ δ' ἤμυνεν ἑταίρων περὶ τεθνειώτων,
Καὶ βάλε Πηλούσιον κατὰ νηδύος εἰς μέσον ἧπαρ.
Πίπτε δέ οἱ πρόσθεν, ψυχὴ δ' ἄϊδόσδε βεβήκει.
Πηλοβάτης δ' ἐσιδὼν, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτόν,
Καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
Θυμώθη δ' ἄρα κεῖνος, ἑλὼν δέ γε χειρὶ παχείῃ
Κείμενον ἐν πεδίῳ λίθον ὄβριμον ἄχθος ἀρούρης,
Τῷ βάλε Πηλοβάτην ὑπὸ γούνατα. πᾶσα δ' ἐκλάσθη
Κνήμη δεξιτερή. πέσε δ' ὕπτιος ἐν κονίῃσι.
Κραμβασίδης δ' ἤμυνε, καὶ αὖθις βαῖνεν ἐπ' αὐτόν,
Τύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα. πᾶς δέ οἱ εἴσω
Ὀξύσχοινος δῦνε. χαμαὶ δ' ἔκχυντο ἅπαντα
Ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
Σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο,
Σκάζων ἐκ πολέμου ἀνεχάζετο. τείρετο δ' αἰνῶς,
Ἥλατο δ' ἐς τάφρον, ὅππως φύγῃ αἰπὺν ὄλεθρον.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς πόδα ἄκρον,
Ὦκα δὲ τειρόμενος ἐς λίμνην ἥλατο φεύγων.
Τρωξάρτης δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
Καὶ οἱ ἐπέδραμεν αὖθις, ἀποκτάμεναι μενεαίνων.
Πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
Ἦλθε διὰ προμάχων, καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ.
Οὐδ' ἔρρηξε σάκος. σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.
Ἦν δέ τις ἐν Μύεσσι νέος παῖς ἔξοχος ἄλλων,
Ἀγχέμαχος, φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου.
Ὄρχαμος, αὐτὸν Ἀρηφαίνων, κρατερὸς Μεριδάρπαξ,
Ὃς μόνος ἐν Μύεσσιν ἀριστεύεσκε μάχεσθαι.
Στῆ δὲ παρὰ λίμνην γαυρούμενος οἶος ἀπ' ἄλλων.
Στεῦτο δὲ πορθήσειν Βατράχων γένος αἰχμητάων.
Καὶ νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καὶ τότ' ἀπολλυμένους Βατράχους ᾤκτειρε Κρονίων.
Κινήσας δὲ κάρην, τοίην δ' ἐφθέγξατο φωνήν.
Ὢ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι.
Οὐ μικρόν μ' ἔπληξε Μεριδάρπαξ κατὰ λίμνην,
Εἰναίρειν Βατράχους βλεμεαίνων. ἀλλὰ τάχιστα
Παλλάδα πέμψωμεν πολεμόκλονον, ἠδὲ καὶ Ἄρη,
Οἵ μιν ἀποσχήσουσι μάχης κρατερόνπερ ἐόντα.
Ὣς ἄρ' ἔφη Κρονίδης. Ἄρης δ' ἀπεμείβετο μύθῳ.
Οὔτ' ἄρ' Ἀθηναίης Κρονίδη σθένος, οὔτε Ἄρηος
Ἰσχύσει Βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
Κινείσθω μέγα Τιτανοκτόνον ὀμβριμοεργὸν,
Ὧ, Τιτᾶνας πέφνες ἀρίστους ἔξοχα πάντων,
Ἐγκέλαδόν τ' ἐπέδησας, ἠδ' ἄγρια φῦλα Γιγάντων
Ὣς ἄρ ἔφη. Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
Πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν ὄλυμπον.
Αὐτὰρ ἔπειτα κεραυνὸν δειμαλέον Διὸς ὅπλον
Ἧκ' ἐπιδινήσας. ὁ δ' ἄρ ἔπτατο χειρὸς Ἄνακτος,
Πάντας μὲν ῥ' ἐφόβησε βαλὼν Βατράχους, Μύας τε
Ἀλλ' οὐδ' ὣς ἀπέληγε Μυῶν στρατὸς· ἀλλ' ἔτι μᾶλλον
Ἵετο πορθήσειν Βατράχων γένος αἰχμητάων.
Εἰ μὴ ἀπ' ὀλύμπου Βατράχους ἐλέησε Κρονίων.
Ὅς ῥα τότε Βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν
Ἦλθον δ' ἐξαίφνης νωτάκμονες ἀγκυλοχῆλαι,
Λοξοβάται, στρεβλοὶ, ψαλιδόστομοι, ὀστρακόδερμοι,
Ὀστοφυεῖς, πλατυνώτοι, ἀποστίλβοντες ἐν ὤμοις,
Βλαισοὶ, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
Ὀκτάποδες, δικάρηνοι, ἀχειρέες. οἱ δὲ καλεῦνται
Καρκίνοι, οἵ ῥα Μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον
Ἠδὲ πόδας καὶ χεῖρας. ἀνεγκάμπτοντο δὲ λόγχαι.
Οὓς ὑπέδεισαν οἱ δειλοὶ Μύες. οὐδ' ὑπέμειναν.
Ἐς δὲ φυγὴν ἐτράποντο. ἐδύετο δ' Ἥλιος ἤδη.
Καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.

ΕΠΙ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΚΛΕΚΤΑ ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

## ΤΗΣ ΑΝΘΟΛΟΓΙΑΣ ΤΩΝ ΕΠΙΓΡΑΜΜΑΤΩΝ.

## ΕΙΣ ΑΓΩΝΑΣ ΚΑΙ ΑΓΩΝΙΣΤΑΣ.

### Ἀρχίου εἰς τοὺς τέσσαρας ἀγῶνας.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί.
  Οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων.
  Ζηνὸς, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
Ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

### Διοτίμου εἰς Ἡρακλῆν, καὶ Ἀνταῖον.

Τὰν ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
  Ἅτε Ποσειδῶνος, καὶ Διὸς ἁ γενεά.
Κεῖται δέσφιν ἀγὼν οὐ χαλκέου ἀντὶ λέβητος,
  Ἀλλ' ὅστις ζωὰν οἴσεται, ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα. πρέπει δ' Ἡρακλέα νικᾶν
  Τὸν Διός. Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

### Ἀντιπάτρου εἰς Ἀρίαν.

Ὁ σταδιεὺς Ἀρίης ὁ Μενεκλέος, οὐ κατελέγχει



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Περσέα σὸν κτίσιν, Ταρσὲ Κίλισσα πόλι,
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες. οὐδ᾽ αὖ ἐκείνῳ
Οὐδ᾽ αὐτὸς Περσεὺς νῶτον ἔδειξε θεῶν·
Ἢ γὰρ ἐφ᾽ ὑσπλήγγων, ἢ τέρματος εἶδέ τις ἄκρου
Ἤϊθεον, μέσσῳ δ᾽ οὔποτ᾽ ἐνὶ σταδίῳ.

Ἀντιπάτρου.

Ταύρου βαθὺν τένοντα, καὶ σιδαρέους
Ἄτλαντος ὤμους, καὶ κόμαν Ἡρακλέους,
Σεμνάν θ᾽ ὑπήναν, καὶ λέοντος ὄμματα,
Μιλησίου γίγαντος, οὐδ᾽ Ὀλύμπιος
Ζεὺς ἀτρόμητος εἶδεν, ἄνδρας ἡνίκα
Πυγμὴν ἐνίκα Νικοφῶν Ὀλύμπια.

Δαμαγήτου.

Οὔτ᾽ ἀπὸ Μεσσάνας, οὔτ᾽ Ἀργόθεν εἰμὶ παλαιστάς.
Σπάρτα μοι Σπάρτα κυδιάνειρα πάτρις.
Κεῖνοι τεχνάεντες. ἔγωγε μὲν (ὡς ἐπέοικε
Τοῖς Λακεδαιμονίων παισὶ) βίᾳ κρατέω.

Σιμωνίδου.

Ἴσθμια, καὶ Πυθοῖ, Διοφῶν ὁ Φίλωνος ἐνίκα,
Ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

## ΕΙΣ ΑΜΠΕΛΟΝ.

Φιλίππου.

Τίς σε πάγος δυσέρημος, ἀνήλιος, ἐξέθρεψεν,
Ἢ Βορέου Σκυθίης, ἄμπελον ἀγελάδα;
Ἢ Κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεις Ἄλπεις,
Τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος;
Ἢ τὰς ὀμφακοράγας ἐγείναο τὰς ἀπεπαύτους
Βότρυας, οἳ στυφελὴν ἐξέχεον σταγόνα.

Δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δίζημαι Λυκοεργὲ τεὰς χέρας, ὡς ἀπὸ ῥίζης
Κλήματος ὠμοτόκου βλαςὸν ὅλον θερίσης.

Ἄδηλον.

Τίς ποτ' ἀκηδέςως οἰνοτρόφον ὄμφακα Βάκχου
Ἀνὴρ ἀμπελίου κλήματος ἐξέταμεν,
Χείλεα δὲ συφθεὶς, ἀπόμιν βάλεν, ὡς αὖ ὁ δίταις
Εἴη νιασομένοις ἡμιδαὲς σκύβαλον;
Εἴη οἱ Διόνυσος ἀνάρσιος οἷα Λυκούργῳ,
Ὅττι μιν αὐξομένην ἔσβεσεν εὐφροσύναν.
Τοῦδε γὰρ αὖ τάχα τις διὰ πώματος, ἢ πρὸς ἀοιδὰς
Ἤλυθεν, ἢ γοερῦ κήδεος ἔσχε λύσιν.

## ΕΙΣ ΑΝΑΘΗΜΑΤΑ.

### Λεωνίδου.

Οὐκ ἐμὰ ταῦτα λάφυρα. τίς ὁ θριγκοῖσαν ἀνάψας
Ἄρηος, ταύτην ταν ἄχαριν χάριτα;
Ἄκλαςοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
Ἀσπίδες, ἄκλαςοι δ' αἱ κλαδαραὶ κάμακες.
Αὐδοῖ πάντα πρόσωπ' ἐρυθαίνομαι, ἐκ δὲ μετώπου
Ἱδρὼς πιδύων, ςῆθος ἐπιςαλάει.
Παςάδα τις τοιοῖςδε, καὶ ἀνδρειῶνα, καὶ αὐλὰν
Κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον.
Ἄρδυς δ' αἱματόεντα διωξίπποιο λάφυρα
Νηὸν κοσμοίη. τοῖς γὰρ ἀρεσκόμεθα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΑΝΑΠΗΡΟΥΣ.

Φιλίππου, οἱ δὲ, Ἰσιδώρου.

Πηρὸς ὁ μὲν, γυίοις, ὁ δ' ἄρ' ὄμμασιν. ἀμφότεροι δ'
Εἰς αὐτοὺς τὸ τύχης ἐνδεὲς ἠραίνισαν.
Τυφλὸς γὰρ λιπόγυιον ἐπαμάδιον βάρος αἴρων,
Ταῖς κείνου φωναῖς ἀτραπὸν ὠρθοβάτει.
Πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη,
Ἀλλήλοις μερίσαι τοὐλλιπὲς εἰς ἔλεον.

Εἰς τὸ αὐτὸ Πλάτωνος Νεωτέρου.

Ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
Ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.

Εἰς ἡμίξηρον αἰτήσαντα χρησάμενος.
τὸν Βασιλέα Τροφίμου.

Ἥμισύ μου τέθνηκε. τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει.
Σῶσόν μου Βασιλεῦ μουσικὸν ἡμίτονον.

Ἀπόκρισις τοῦ Βασιλέως.

Ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα, καὶ Φαέθοντα,
Τὸν μὲν ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

Ἀντιφίλου εἰς τυφλὸν ἀναβάντα εἰς τὸ ἐν
Ἐλευσῖνι ἱερὸν, καὶ ἀναβλέψαντα.

Σκίπων με πρὸς νηὸν ἀνήγαγεν ὄντα βέβηλον
Οὐ μοῦνον τελετῆς, ἀλλὰ καὶ ἠελίου.
Μύστην δ' ἀμφοτέρων με Θεαὶ θέσαν. οἶδα δ' ἐκείνῃ
Νυκτὶ καὶ ὀφθαλμῶν νύκτα καθηράμενος.
Ἄσκίπων δ' εἰς ἄστυ κατέστιχον, ὄργια Δηοῦς
Κηρύσσων γλώσσης ὄμματι τρανοτέρῳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΑΝΔΡΙΑΝ, ΚΑΙ ΑΝΔΡΕΙΟΥΣ

### Ἄδηλον. εἰς Λάκαιναν.

Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
  Παῖδ' ἑὸν εἰς πάτραν ὠκὺν ἰέντα πόδα,
Ἀντίη ἀΐξασα, δι' ἥπατος ἤλασε λόγχην,
  Ἄῤῥενα ῥηξαμένη φθόγγον ἐπὶ κταμένῳ.
Ἀλλότριον Σπάρτας, εἶπεν, γένος, ἔῤῥε πρὸς ἅδαν,
  Ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα, καὶ γενέταν.
    Γλαυκοῦ ἀπὸ ὑπάρχων Αἰγυπτίου, ὅμοιον.
Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
  Ἔκτανεν, ὠδίνων μνῆσιν ἀνηναμένη.
Καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων,
  Ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.
    Ἀγαθίου Σχολαστικοῦ. Εἰς τὸν Αἴαντος λίθον.
Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας ὁδῖτα
  Πέτρον. ἀκοντιστὴν στήθεος Ἑκτορέου.
Εἰμὶ μέλας, τρηχύς τε. σὺ δ' εἴρεο θεῖον Ὅμηρον,
  Πῶς τὸν Πριαμίδην ἐξεκύλισσα πέδῳ.
Νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης
  Ἄνθρωποι, γενεῆς Αἴγεα λευγαλέης.
Ἀλλά με τίς κρύψειεν ἐπὶ χθονός; αἰδέομαι γὰρ,
  Παίγνιον οὐτιδανοῖς ἀνδράσι γιγνόμενος.
    Εἰς Ῥώμην, Κριναγόρου.
Οὐδ' ἢν Ὠκεανὸς πᾶσαν πλημμῦραν ἐγείρῃ,
  Οὐδ' ἢν Γερμανίη Ῥῆνον ἅπαντα πίῃ,
Ῥώμης οὐδ' ὅσσον βλάψει σθένος, ἄχρι κε μίμνῃ
  Δεξιὰ σημαίνειν Καίσαρι θαρσαλέη.
Οὕτω καὶ ἱεραὶ Ζηνὸς δρύες ἔμπεδα ῥίζαις
  Ἑστᾶσιν. φύλλων δ' αὖα χέουσ' ἄνεμοι.

Παρ·

Παρμενίωνος.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις,
Ναύτην ἠπείρου, πεζοπόρον πελάγους,
Ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεψεν Ἄρης
Σπάρτης, αἰσχύνεσθ᾽ οὔρεα, καὶ πελάγη.

Ἀρχίου.

Ὃν πόλεμος δεδιὼς οὐκ ὤλεσε; νῦν ὑπὸ νούσου
Θλίβομαι. ἐν δ᾽ ἰδίῳ τήκομ᾽ ὅλως πολέμῳ.
Ἀλλὰ διὰ στέρνων ἴθι φάσγανον. ὡς γὰρ ἀεισοῦς
Θνήξομ᾽, ἀπωσάμενος καὶ νόσον ὡς πόλεμον.

Ἀλφειοῦ Μιτυληναίου.

Κλεῖε Θεὸς μεγάλοιο πύλας ἀκμῆτας Ὀλύμπου,
Φρούρει Ζεῦ ζαθέαν αἰθέρος ἀκρόπολιν.
Ἤδη γὰρ καὶ πόντος ὑπέζευκται δορὶ Ῥώμης,
Καὶ χθών. οὐρανίου δ᾽ οἶμος ἔτ᾽ ἐστ᾽ ἄβατος.

Φιλίππου.

Πουλὺ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
Ξέρξης εὐχλαίνου φάρεϊ πορφυρέῳ.
Κὰκ νεκύων δ᾽ ἤχησεν ὁ τᾶς Σπάρτας μέγας ἥρως,
Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον.
Ἀσπίς μοι τύμβου κόσμος μέγας. ἔρρε τὰ Περσῶν.
Ἥξω κεἰς ἀΐδην ὡς Λακεδαιμόνιος.

Ἄδηλον.

Αἴαντος παρὰ τύμβον ἀπαρβήτοιο παρὰ ἀκτὰς
Φρὺξ, ἐπέων κακῆς ἦρχεν ἐπεσβολίης.
Αἴας δ᾽ οὐκέτ᾽ ἔμιμνεν, ὅδ᾽ ἀντιγέγωνεν ἔνερθε.
Μίμνειν δ᾽ οὐκ ἔτλη ζωὸς ἀποφθίμενον.

## ΕΙΣ ΤΙ ΤΟΝ ΦΛΑΜΙΝΙΟΝ.

Ἀλκαίου.

Ἄγαγε καὶ Ξέρξης Πέρσαν στρατὸν Ἑλλάδος ἐς γᾶν,
Καὶ Τίτος εὐρείας ἄγαγ᾽ ἀπ᾽ Ἰταλίας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλ' ὁ μὲν, Εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων
Ἤλθεν, ὁ δ' ἀμπαύσων Ἑλλάδα δουλοσύνας.

## ΕΙΣ ΑΝΤΑΠΟΔΟΣΙΝ.

Λεωνίδου Ταραντίνου.

Ἴξαλος εὐπώγων αἰγὸς πόσις ἐν ποτ' ἀλωῇ,
Οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους.
Τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε, τεῖρε κάκιστε
Γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον.
Ῥίζα γὰρ ἔμπεδος οὖσα πάλι γλυκὺ νέκταρ ὀνήσει,
Ὅσσον ἐπισπεῖσαί σοι τράγε θυομένῳ.

Παρμενίωνος Μακεδόνος.

Οἱ κόρεις ἄχρι κόρου κορέσαντό μου. ἀλλ' ἐκορέσθην
Ἄχρι κόρου κ' αὐτὸς, τοὺς κόρεις ἐκκορίσας.

## ΕΙΣ ΑΠΕΙΛΗΝ.

Λουκιλίου, οἱ δὲ, Πλάτωνος.

Ἁ Κύπρις Μούσαισι, κοράσια, τὰν Ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν ἔρον ὔμμιν ἐφοπλίσομαι.
Καὶ Μοῦσαι ποτὶ Κύπριν, Ἄρει τὰ σωμύλα ταῦτα·
Ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

Ἄδηλον.

Ὁ Ζεὺς πρὸς τὸν ἔρωτα, βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι.
Χῶ πτανὸς, βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

## ΕΙΣ ΑΡΕΤΗΝ.

Ὀνέστου.

Ἀμβαίνων Ἑλικῶνα μέγαν, κάμες. ἀλλ' ἐκορέσθης
Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
Οὕτω καὶ σοφίης πόνος ὄρθιος. ἢν δ' ἄρ' ἐπ' ἄκρον
Τέρμα μόλῃς, ἀρύσῃ Πιερίδων χάριτας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παύλυ Σιλεντιαρίυ.

Μήτε βαθυκτεάνοιο τύχης κυφίζεο ῥοίζῳ,
  Μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
Πᾶς γὰρ ὑπ' ἀσαθέεσσι βίος πολεμίζεται αὔραις,
  Τῇ, καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
Η' δ' ἀρετὴ, σαθερόν τι, καὶ ἄτροπον. ἧς ἔπι μούνης,
  Κύματα θαρσαλέως ποντοπόρει βιότυ,

## ΕΙΣ ΑΣΕΒΕΙΣ.

Εἰς τὸν φθείραντα τὴν ἑαυτῦ μητέρα.

Μὴ θάψῃς τὸν ἄθαπτον. ἔα κυσὶ κύρμα γενέσθαι.
  Γῆ μήτηρ πάντων μητροφθόρον ὐ δέχετ' ἄνδρα.

## ΕΙΣ ΑΣΩΤΟΥΣ.

Λυκιανῦ.

Τὸν πατρικὸν πλῦτον νέος ὢν Θήρων ὁ Μενίππυ,
  Αἴσχρως εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
Α'λλά μιν Εὐκτήμων πατρικὸς φίλος ὡς ἐνόησεν
  Η'δη καρφαλέῃ τειρόμενον πενίῃ,
Καίμιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
  Θῆκε θυγατρὸς ἑῆς, πόλλ' ἐπιμείλια δὺς.
Αὐτὰρ ἐπεὶ Θήρωνι παρ' ἐλπίδας ἤλυθε πλῦτος,
  Αὐτίκα ταῖς αὐταῖς ἐστρέφετ' ἐν δαπάναις,
Γαστρὶ χαριζόμενος πᾶσαν χάριν ὐ κατὰ κόσμον,
  Τῇ θ' ὑπὸ τὴν μιαρὰν γαστέρα μαργοσύνῃ.
Οὕτω μὲν Θήρωνα τοδεύτερον ἀμφεκάλυψεν
  Οὐλομαίης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυε τοδεύτερον ὐκ ἔτι κεῖνον,
  Α'λλὰ θυγατρὸς ἑῆς προῖκά τε, καὶ θάλαμον.
Ε'γνω δ' ὡς ὐκ ἔσι κακῶς κεχρημένον ἄνδρα
  Τοῖς ἰδίοις, εἶναι πισὸν ἐν ἀλλοτρίοις.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΑΥΛΗΤΑΣ.

Βοηθοῦ.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον
Κωμάζων Λήναις σύμποτε καὶ Σατύροις.
Οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον
Ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων.
Παυσαμένη ζήλου Διὸς αὖ φάτο σύγγαμος Ἥρη,
Ἐψεύσω Σεμέλη, Βάκχον ἐγὼ δ' ἔτεκον.

## ΕΙΣ ΑΥΤΑΡΚΕΙΑΝ.

Παρμενίωνος Μακεδόνος.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας. οὐδὲ τραπέζαις
Δουλεύσω, μουσέων ἄνθεα βοσκόμενος.
Μισῶ πλοῦτον, ἄνουν, κολάκων τροφόν. οὐδὲ παρ' ὀφρὺν
Στήσομαι. οἶδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

Ἀλφειοῦ Μιτυληναίου.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
Οὐκ ὄλβον πολύχρυσον οἷα Γύγης.
Αὐτάρκους ἔραμαι βίου, Μακρῖνε.
Τὸ μηδὲν γὰρ ἄγαν, ἄγαν με τέρπει.

Ἄδηλον.

Ἐλθὼν εἰς ἀΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας,
Διογένης ὁ Κύων, Κροῖσον ἰδὼν ἐγέλα.
Καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
Τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
Εἶπεν· ἐμοὶ καὶ νῦν πλείων τόπος. ὅσσα γὰρ εἶχον,
Πάντα φέρω σὺν ἐμοὶ Κροῖσε. σὺ δ' οὐδὲν ἔχεις.

Παλλαδᾶ.

Ἐλπίδος, οὐδὲ τύχης ἔτι μοι μέλει, οὐδ' ἀλεγίζω
Λοιπὸν τῆς ἀπάτης, ἤλυθον εἰς λιμένα.

Εἰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰμὶ πένης ἄνθρωπος. ἐλευθερίῃ δὲ συνοικῶ.
  Ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

Λουκιανοῦ.

Ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε.
  Ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
Ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας,
  Φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

Παλλαδᾶ.

Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι,
  Ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

Θεόγνιδος.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι. ἀλλά μοι εἴη
  Ζῆν ἐκ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἄδηλον.

Σώματα πολλὰ τρέφειν καὶ δώματα πόλλ' ἀνεγείρειν,
  Ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

## ΕΙΣ ΤΟΝ ΑΝΘΡΩΠΙΝΟΝ ΒΙΟΝ.

Ἀρχίου.

Θρήϊκας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
  Μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους.
Ἔμπαλι δ' ὀλβίζουσιν, ὅσους αἰῶνα λιπόντας
  Ἀπροϊδὴς κηρῶν λάτρις ἔμαρψε μόρος.
Οἱ μὲν γὰρ ζῶντες, ἀεὶ παντοῖα περῶσιν
  Ἐς κακά, τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

Ἄδηλον.

Τὸν βίον Ἡράκλειτε πολὺ πλέον ἤπερ ὅτ' ἔζης
  Δάκρυε. νῦν ὁ βίος ἔστ' ἐλεεινότερος.
Τὸν βίον ἄρτι γέλα Δημόκριτε τὸ πλέον ἢ πρίν.
  Νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ,
Πῶς ἅμα σοι κλαύσω, πῶς ἅμα σοι γελάσω.

Ποσειδίππου, οἱ δὲ, Κράτητος τοῦ Κυνικοῦ.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
Νείκεα καὶ χαλεπαὶ πρήξιες. ἐν δὲ δόμοις,
Φροντίδες. ἐν δ' ἀγροῖς, καμάτων ἅλις. ἐν δὲ θαλάσσῃ,
Τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος.
Ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
Ἔσσεαι. οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερος.
Τέκνα, πόνοι. πήρωσις, ἄπαις βίος. αἱ νεότητες,
Ἄφρονες. αἱ πολιαὶ δ' ἔμπαλιν, ἀδρανέες.
Ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις. ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

Ἐκ τοῦ ἐναντίου, πιθανά. Μητροδώρου.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
Κύδεα καὶ πινυταὶ πρήξιες. ἐν δὲ δόμοις,
Ἄμπαυμ'. ἐν δ' ἀγροῖς, φύσιος χάρις. ἐν δὲ θαλάσσῃ,
Κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος.
Ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
Ἔσσεται. οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
Τέκνα, πόθος. ἄφροντις, ἄπαις βίος. αἱ νεότητες,
Ῥωμαλέαι. πολιαὶ δ' ἔμπαλιν, εὐσεβέες.
Οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις. ἢ τὸ γενέσθαι
Μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

Λουκιανοῦ.

Θνητὰ τὰ τῶν θνητῶν. καὶ πάντα παρέρχεται ἡμᾶς.
Ἢν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

Παλλαδᾶ.

Γῆς ἐπέβην γυμνὸς, γυμνὸς θ' ὑπὸ γαῖαν ἄπειμι.
Καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Τοῦ αὐτοῦ.

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ.
  Πολλάκις ναυηγῶν πταίομεν οἰκτρότερα.
Τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
  Ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν.
Οἱ μὲν ἐπ' εὔπλοιαν, οἱ δ' ἔμπαλιν, ἀλλ' ἅμα πάντες
  Εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

Τοῦ αὐτοῦ.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον, ἢ μάθε παίζειν,
  Τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.

Τοῦ αὐτοῦ.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰ δ' ἀγανακτεῖς,
  Καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

Τοῦ αὐτοῦ.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω.
  Δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
Ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρὸν
  Συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

Ἰουλιανοῦ.

Ἤδεα πάντα κέλευθα λάχεν βίος. ἄστεϊ μέσσῳ,
  Εὖχος, ἑταιρεῖαι. κρυπτὰ δόμοισιν ἄκη.
Ἀγρὸς τέρψιν ἄγει· κέρδη, πλέος. ἀλλοδαπὴ χθὼν,
  Γνώσιας. ἐκ δὲ γάμων, οἶκος ὁμοφρονέει.
Τοῖς δ' ἀγάμοις, ἄφροντις ἀεὶ βίος. ἕρκος ἐτύχθη
  Πατρὶ, τέκος. φροῦδος τοῖς ἀγόνοισι φόβος.
Ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάζειν.
  Ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

Ἄδηλον.

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν.
  Πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΒΡΕΦΟΣ.

Βιάνορος.

Ἤειπεν ἐξ ἄκρης δόμος ἀθρόος. ἀλλ' ἐπὶ παιδὶ
Νηπιάχῳ, ζεφύρου πολλὸν ἐλαφρότερος.
Φείσατο κυροσιώης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
Μητέρες. ὠδίνων καὶ λίθος αἰσθάνεται.

## ΕΙΣ ΓΑΜΟΝ.

Ἀδήλου.

Εἴτις ἅπαξ γήμας, πάλι δεύτερα λέκτρα διώκει,
Ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

Παύλου Σιλεντιαρίου.

Καλὰ τὰ παρθενίης κειμήλια. παρθενίη δὲ,
Τὸν βίον ὤλεσεν ἂν, πᾶσι φυλαττομένη.
Τοὔνεκεν ἐνθέσμως ἄλοχον λάβε. καί τινα κόσμῳ
Δὸς βροτὸν ἀντὶ σέθεν. φεῦγε δὲ μαχλοσύνην.

Αὐτομέδοντος.

Οὐκ ἔστι γήμας, ὅς τις οὐ χειμάζεται.
Λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

## ΕΙΣ ΓΗΡΑΣ, ΚΑΙ ΓΕΡΟΝΤΑΣ,

Μενεκράτους.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται. ἢν δέ ποτ' ἔλθῃ,
Μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

Λουκιλλίου.

Εἴτις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
Γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

Βισαντίου.

Ὤμοι ἐγὼ ἥβης, καὶ γήραος οὐλομένοιο.
Τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονεισομένης.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀδέσποτον.

Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνε,
Εἰς ὀξὺ τρέπεται τῦτο τὸ λειπόμενον.
Οὕτως ἀντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν
Γῆρας ὁ πρεσβύτης, γίνεται ὀξύχολος.

Φίλωνος.

Αἱ πολιαὶ σὺν νῷ, γεραρώτεραι. αἱ γὰρ ἄτερ νῦ,
Μᾶλλον τῶν πολλῶν εἰσιν ὄνειδος ἐτῶν.
Αἱ τρίχες, ἣν σιγᾷς, εἰσὶ φρένες. ἣν δὲ λαλήσῃς,
Ὥςαι τῆς ἥβης, ὐ φρένες, ἀλλὰ τρίχες.

## ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ.

Παλλαδᾶ.

Ἀρχὴ γραμματικῆς πεντάςιχός ἐστι κατάρα.
Πρῶτος, μῆνιν ἔχει. δεύτερος, ὐλομένην.
Καὶ μετὰ δ' ὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολλά.
Ὁ τρίτατος, ψυχὰς εἰς ἀΐδην κατάγει.
Τῦ δὲ τεταρταίυ, τὰ ἑλώρια, καὶ κύνες ἀργοί.
Πέμπτυ δ', οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
Πῶς ὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
Καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

Τῦ αὐτῦ.

Καλλίμαχον πωλῶ, καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
Πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν,
Ὥςτε με τῦτε πιεῖν, τῦτε φαγεῖν ἀπορεῖν.
Ἀλλὰ σύ μυ πρόςηθι Θεῷ φίλε, μηδέ μ' ἐάσῃς
Συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

Εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐπιθίᴕ Ἀθluαίᴕ σίξαντος τlὼ Καθόλᴕ.
Ταυτολόγων κανόνων φεῦ πληθύος, ἐδ' ἀϊδήλων
Ξυσμάων, λεπτὸς τὰς ἐχάραξε δόναξ.
Ὄμματά μᴕ κέκμηκε, τέων, ῥάχις, ἰνίον, ὤμοι.
Τῆς Καθόλᴕ δὲ φέρων τlὼ ὀδιώlω καθόλᴕ.

## ΕΙΣ ΓΡΑΦΙΔΑ.

Ἤμlω ἀχρεῖον κάλαμος φυτόν. ἐκ γὰρ ἐμεῖο,
Οὐ σῦκ', ᴕ μῆλον φύεται, ᴕ σαφυλή.
Ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
Χείλεα, καὶ σεινὸν ῥῦν ὀχετευσάμενος.
Ἐκ δὲ τᴕ, εὖτε πίοιμι μέλαν ποτὸν, ἔνθεος οἷα
Πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λέγω σόματι.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

### Παλλαδᾶ.

Πᾶσαν Ὅμηρος ἔδειξε κακlὼ, σφαλερlὼ τε γυιαῖκα.
Σώφρονα, καὶ πόρνlω, ἀμφοτέρας ὄλεθρον.
Ἐκ γὰρ τῆς Ἑλένης μοιχευσαμένης, φόνος ἀνδρῶν.
Καὶ διὰ σωφροσιώlω Πlωελόπης, θάνατοι.
Ἰλιὰς ἓν τὸ πόνημα, μιᾶς χάριν ἐςὶ γυιαικός.
Αὐτὰρ Ὀδυσσείῃ Πlωελόπη πρόφασις.

### Τᴕ αὐτᴕ.

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο γυιαῖκας.
Εἴθε δὲ μήτε γυιὴ, μήτε τὸ πῦρ ἐφάνη.
Πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται. ἡ δὲ γυιὴ, πῦρ
Ἄσβεςον, φλογερὸν, πάντοτ' ἀναπτόμενον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΙΣ ΔΕΝΔΡΑ.

Καλλινίκ.

Ἠ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
  Ἀχρὰς, θηροβότε πρέμνον ἐρημοσυύης.
Ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
  Οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρεσα βάρος.
Πολλή σοι φυτοεργὲ πόνε χάρις· εἵνεκα σοῖο
  Ἀχρὰς ἐν ἀκάρποις δένδρεσιν ἐγγράφομαι.

Λεωνίδε.

Αὐτοτελεῖς καρπὲς ἀποτέμνομαι, ἀλλὰ πεπείρες
  Πάντοτε. μὴ σκληροῖς τύπτετε χερμαδίοις.
Μεμίσει καὶ Βάκχος ἐνοβρίζοντι τἀκείνε
  Ἔργα. Λυκέργειος μὴ λαθέτω σε τύχη.

Ἀντιφίλε Βυζαντίε.

Κλῶνες ἀπηόριοι τανάης δρυὸς, εὔσκιον ὕψος
  Ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,
Εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φωτῶν,
  Οἰκία τεττίγων, εὔδιοι ἀκρέμονες,
Κἀμὲ τὸν ὑμετέρησιν ὑποκλινθέντα κόμησι,
  Ῥύσαθ', ἀκτίνων ἠελίε φυγάδα.

Ἀδέσποτον.

Παλλάδες εἰμὶ φυτὸν, βρομίε τί με θλίβετε κλῶνες;
  Αἴρετε τὲς βότρυας· παρθένος, ὲ μεθύω.

Φιλίππε.

Φοῖβον ἀνηναμένη ποτὲ Δάφνη, νῦν ἀνέτειλε
  Καίσαρος ἐκ βωμε, κλῶνα μελαμπέταλον.
Ἐκ δὲ Θεῦ Θεὸν εὗρεν ἀμείνονα. Λητοΐδην γὰρ
  Ἐχθήρασα, φιλεῖ Ζῆνα τὸν Αἰνεάδην.
Ῥίζαν δ' ἐκ ἀπὸ γῆς μὴ ἐξ ὃς βάλεν, ἀλλ' ἀπὸ πέτρης·
  Καίσαρι μὴ τίκτειν ἐδὲ λίθος δύναται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΔΙΚΗΝ,

Ἐν ᾧ καὶ εἰς Πρόνοιαν. Ἄδηλον.

Ἀσπὶς Ἀχιλλῆος τὴν Ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης Δαναῶν εἷλε κακοφροσύνῃ.
Ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νεκρὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.

Εἰς τὸ αὐτό.

Καλὰ Ποσειδάων δίκασεν πολὺ μᾶλλον Ἀθήνης.
Καὶ κρίσιν Ἑλλήνων, συγγραφὴν ἀπέδειξε θάλασσα.
Ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,
Αὐτόν σ' ἐκκαλέουσα τὸν ἄξιον ἀσπιδιώτην.
Ἔγρεο παῖ Τελαμῶνος. ἔχεις σάκος Αἰακίδαο.

Ἀπολλωνίδου.

Γυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
Οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος.
Κεῖνον δ' εὐθὺς ἄκοντι παλινδρομέοντι κατέκτα.
Ἠερόθεν πίπτων δ', ἔκτανεν, ὡς ἔθανεν,
Μήκετ' ἐφ' ὑμετέροις ἀγκάλεσι Κρῆτε ὀϊστοῖς
Αὐχεῖθ'. ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

Ἀρχίου.

Ἔν ποτε παμφαίνοντι μελάμπτερος αἰθέρι νωμῶν,
Σκορπίον ἐκ γαίης εἶδε θορόντα κόραξ.
Ὃν μάρψων ὥρουσεν. ὁ δ' αἴξαντος ἐπ' οὖδας,
Οὐ βραδὺς ὀξυόεντι πέζαν ἔτυψε βέλει,
Καὶ ζωῆς μιν ἄμερσεν. ἴδ' ὃν ἔτευχεν ἐπ' ἄλλῳ,
Ἐκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

Ἄδηλον.

Ἀνδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι,
Νυκτὸς ἐπιστῆναι φασὶ Σάραπιν ὄναρ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ χρησμῳδῆσαι, κατακείμενος ὧτος, ἀνίσω,
  Καὶ κοιμῶ μεταβὰς ὦ τάλας ἀλλαχόθι.
Ὅς δὲ διυπνισθεὶς, μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
  Τειχίον ἐξαίφνης εὐθὺς ἔκειτο χαμαί.
Σῶστρα δ' ἕωθεν ἔθυε Θεοῖς χαίρων ὁ κακοῦργος,
  Ἥδεσθαι νομίσας τὸν Θεὸν ἀνδροφόνοις.
Ἀλλ' ὁ Σάραπις ἔχρησε πάλιν διὰ νυκτὸς ἐπιστὰς,
  Κήδεσθαί με δοκεῖς ἄθλιε τῶν ἀδίκων;
Εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
  Νῦν ἔφυγες. σταυρῷ δ' ἴσθι φυλαττόμενος.

## ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ.

### Φιλίππου.

Ἕβρου θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ.
  Νήπιος ἐμβαίνων, οὐκ ἔφυγε θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν,
  Κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας. ἡ δὲ μένουσα
  Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύσμορος, ἧς ὠδῖνα διείλετο πῦρ τε, καὶ ὕδωρ.
  Ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐστιν ὅλος.

### Ἀντιπάτρου.

Πλοῦτος Ἀρισείδῃ δάμαλις μία, καὶ τριχόμαλλος
  Ἦν ὄϊς. ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
Ἤμβροτε δ' ἀμφοτέρων. ἀμνὴν, λύκος ἔκτανεν. ὠδῖς
  Τὴν δάμαλιν. πενίης δ' ὤλετο βουκόλιον.
Πηροδέτῳ δ' ὅγ' ἱμάντι κατ' αὐχένος ἅμμα λυγώσας
  Οἰκρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

Λυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λουκιανοῦ.

Τοῖσι μὲν εὖ πράττουσι πᾶς ὁ βίος βραχύς ἐστι.
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

## ΕΙΣ ΕΛΠΙΔΑ.

Ἰουλίου Πολυαίνου.

Ἐλπὶς ἀεὶ βιότοιο κλέπτει νόον. ἡ πυμάτη δὲ
Ἠὼς, τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

## ΕΙΣ ΕΠΑΙΝΟΝ. Ἄδηλον.

Ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν. αἰσχρὰ δὲ, δεινόν.
Κἂν ὦσιν τύπων ἄξιοι, ὧν λέγομεν.

## ΕΙΣ ΕΡΩΤΑ. Ἀρχιου πατρέως.

Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφραγῖδος ἔρωτα,
Χερσὶ Λεοντείαν ἡνιοχεῦντα βίαν.
Ὃς τῇ μὲν, μάστιγα κατ' αὐχένος. ᾗ δὲ, χαλινοὺς
Εὐθύνει. πολλὰ δ' ἀμφιτέθηλε χάρις.
Φρίσσω τὸν βροτολοιγόν. ὁ γὰρ καὶ θῆρα δαμάσδων
Ἄγριον, οὐδ' ὀλίγον φείσεται ἁμερίων.

Λουκιανοῦ.

Οὐχ ὁ ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
Ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ ἔρως πρόφασις.

Ἄδηλον.

Ἔρωτα παύει λιμός. εἰ δὲ μὴ, χρόνος.
Ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
Θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

Ζηνοδότου.

Τίς γλύψας τὸν ἔρωτα, παρὰ κρήνῃσιν ἔθηκεν,
Οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ.

Καρπυλλίδυ.

Ἰχθύας ἀγκιστρώτις ἀπ' ᾐόνος εὐτειχὶ βάλλων,
Εἵλκυσε ναυηγῦ κρᾶτα λιποτειχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρυ
Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσῦ κτέαρ. ἦ ῥα δικαίοις
Ἀνδράσιν εὐσεβίης ἐκ ἀπόλωλε χάρις.

## ΕΙΣ ΕΥΧΑΡΙΣΤΟΥΣ ϗ ΑΧΑΡΙΣΤΟΥΣ.

Λυκιανῦ.

Ὠκεῖαι χάριτες, γλυκερώτεραι. ἢν δὲ βραδύνῃ,
Πᾶσα χάρις κενεή. μηδὲ λέγοιτο χάρις.

Ἀδέσποτον.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω ἐκ ἐθέλυσα,
Ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ' ὑπ' ἐμῦ, κατ' ἐμῦ πάλι θηρίον ἔςαι.
Ἡ χάρις ἀλλάξαι τὴν φύσιν ἐ δύναται.

Λυκιανῦ.

Φαῦλος ἀνὴρ, πίθος ἐςὶ τετρημένος. εἰς ὃν ἁπάσας
Ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

## ΕΙΣ ΕΥΧΗΝ. Ἀδέσποτον.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ ϗ εὐχομένοις καὶ ἀνεύκτοις
Ἄμμι δίδυ. τὰ δὲ λυγρὰ, ϗ εὐχομένων ἀπερύκοις.

## ΕΙΣ ΕΧΘΡΟΥΣ.

Σπατυλλίυ Φλάκκυ.

Πένθιμον ἡνίκα πατεὶ Πολυξείνεις ὑμέναιον
Ἤνυσεν ὀγκωτῦ Πύῤῥος ὕπερθε τάφυ,
Ὡ δὲ πολυκλαύςοιο κόμας λακίσασα καρήνυ

Κισ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κτάντες τεκέων κλαῦσε φόνους Ἑκάβη.
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς,
Νῦν δὲ Πολυξείνης αἷμα δέχῃ φθίμενος
Αἰακίδη. τί τοσοῦτον ἐμὴν ὠδύσαο νηδύν;
Παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

Ἀντιφίλου.

Πορφυρέαν τοι τάνδε, Λεωνίδα, ὤπασε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τεᾶς ἀρετᾶς.
Οὐ δέχομαι. προδόταις αὕτα χάρις. ἀσπὶς ἔχει με
Καὶ νέκυν. ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
Ἀλλ' ἔθανες, τί τοσόνδε καὶ ἐν νεκύεσσιν ἀπεχθὴς
Πέρσαις; Οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

Ἀββιανοῦ.

Εἰ μὲν τοὺς ἀπὸ ἄλφα μόνους κέκρικας κατορύσσειν
Λούκιε βουλευτὰς, καὶ τὸν ἀδελφὸν ἔχεις.
Εἰ δ' ὅπερ εὔλογόν ἐστι, καὶ στοιχεῖον οὐδὲν εἰς,
Ἤδη σοι προλέγω, Ὠ' εἰρήνης λέγομαι.

ΕΙΣ ΖΩΑ. Γερμανικοῦ Καίσαρος.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος,
Ἐκπροφυγεῖν μεμαὼς θηγχοὺ ὀδόντα κυνός.
Ἀλλ' οὐδ' ὣς ἤλυξε κακὸν μόρον. αὐτίκα γάρ μιν
Εἰνάλιος μάρψας, πνεύματος ὠρφάνισεν.
Ἐκ πυρὸς ὡς αἰνῶς πέσες ἐς φλόγας. ἦ ῥάσε δαίμων
Κἢν ἁλὶ, κἢν χέρσῳ, θρέψε κυνέσσι βορήν.

Τοῦ αὐτοῦ.

Ἐκ κυνὸς εἷλε κύων με. τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
Ὑγροὶ, καὶ πεζοὶ, θυμὸν ἔχουσιν ἴσα.
Αἰθέρα λοιπὸν ἔχοιτε λαγοὶ βατόν. ἀλλὰ φοβοῦμαι.
Οὐρανὲ, καὶ σὺ φέρεις ἀστερόεντα κύνα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιφύλȣ.

Ψῆγμα πυρὸν χρυσοῖο σιδηρείων ὑπ' ὀδόντων
Ῥινηθὲν, Λιβυκῆς κȣφότερον ψαμάθȣ,
Μῦς ὀλίγος βαρὺ δεῖπνον ἐδαίσατο. πᾶσα δὲ νηδὺς
Συρομένη, βραδύπȣν θῆκε τὸν ὠκύτατον.
Λιφθεὶς δ' ἐκ μεσάτης ἀνετέμνετο κλέμματα γαστρός.
Ἦς ἄρα κἠν ἀλόγοις, χρυσὲ, κακȣ̃ πρόφασις.

Ἄδηλον.

Τίπτε με τὸν φιλέρημον ἀεικιδεῖ ποιμένες ἄγρῃ
Τέττιγα, δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων,
Τὴν νυμφῶν παροδῖτιν ἀηδόνα, καύματι μέσσῳ
Οὔρεσι ϗ σκιεραῖς ξȣθὰ λαλεῦντα νάπαις;
Ἠνὶ δὲ ϗ κίχλην, ϗ κόσσυφον, ἠνὶ δὲ τόσȣς
Ψᾶρας ἀρȣραίης ἅρπαγας εὐποΐης,
Καρπῶν δηλητῆρας ἑλεῖν θέμις. ὄλλυτ' ἐκείνȣς.
Φύλλων ϗ χλοερῆς τίς φθόνος ἐστὶ δρόσȣ;

## ΕΙΣ ΖΩΗΝ.

Ἄδηλον.

Πολλὰ μεταξὺ πέλει κύλικος, ϗ χείλεος ἄκρȣ.

Παλλαδᾶ.

Μήπȣ θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες,
Ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον,
Εἰ ζῶμεν ἡμεῖς, τȣ̃ βίȣ τεθνηκότος;

Εἰς Ἠχώ. Ἀρχίȣ.

Εὔφημος γλῶσσῃ παραμείβεο τὰν λάλον ἠχὼ,
Κȣ̃ λάλον, ἣν τι κλύω, τȣ̃τ' ἀπαμειβομέναν.
Εἰς σὲ γὰρ, ὃν σὺ λέγεις, στρέψω λόγον. ἢν δὲ σιωπᾷς,
Σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΘΑΝΑΤΟΝ, ΚΑΙ ΕΙΣ ΘΑΝΟΝΤΑΣ.

### Ἀγαθίου.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα,
Τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται. οὐδέποτ' αὐτὸν
Εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον.
Αἱ δὲ νόσοι, πολλαὶ, καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
Ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

### Παλλαδᾶ.

Χαίρει τις Θεόδωρος, ἐπεὶ θάνον. ἄλλος ἐπ' αὐτῷ
Χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

### Ἀββιανοῦ.

Γῆ μὲν ἔαρ κόσμος πολυδένδρεον. αἰθέρι δ' ἄστρα
Ἑλλάδι δ', ἥδε χθών. οἵδε δὲ, τῇ δὲ πόλει.

### Φιλίππου.

Ἡ πυρὶ πάντα τεκοῦσα Φιλαίνιον, ἡ βαρύπενθος
Μήτηρ, ἡ τέκνων τελατὸν ἰδοῦσα τάφον,
Ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα. ἦ γὰρ ἐώλπειν
Πάντως μοι ζήσειν τοῦτον, ὃν οὐκ ἔτεκον.
Ἡ δ' εὔπαις, θετὸν υἱὸν ἀνήγαγον. ἀλλά με δαίμων
Ἤθελε μηδ' ἄλλης μητρὸς ἔχειν χάριτα.
Κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο. νῦν δὲ τεκούσαις
Ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

### Παλλαδᾶ ἐπὶ δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι, καὶ εὐθὺς ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτεκεν φιλότητι μιγεῖσα,
Παιδίον ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον.

Παλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀδήλου.

Κάτθανον, ἀλλὰ μένω σε. μενεῖς δέ τε καὶ σύ τιν'
Πάντας ὁμῶς θνητοὺς εἰς ἀΐδης δέχεται.

Ἀδήλου.

Οἶνος, καὶ τὰ λοετρὰ, καὶ ἡ περὶ Κύπριν ἐρωὴ,
Ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

## ΕΙΣ ΘΕΟΥΣ.

Λουκιανοῦ.

Ἀνθρώπους μὲν ἴσως λήσεις, ἄτοπόν τι ποιήσας.
Οὐ λήσεις δὲ Θεοὺς, οὐδὲ λογιζόμενος.

Ἀδέσποτον.

Ζεὺς, κύκνος, ταῦρος, σάτυρος, χρυσὸς, δι' ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

Ἀντιπάτρου.

Εὔκολος Ἑρμείας ὦ ποιμένες. ἐν δὲ γάλακτι
Χαίρων, καὶ δρυΐνῳ σπενδόμενος μέλιτι.
Ἀλλ' οὐχ Ἡρακλέης. ἕνα δὲ κτίλον, ἢ παχὺν ἄρ
Αἰτεῖ. καὶ πάντως ἓν θύος ἐκλέγεται.
Ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλα;
Ὄλλυται, εἴτε λύκοις, εἴθ' ὑπὸ τοῦ φύλακος;

Παλλαδᾶ.

Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα,
Τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραρριπτόμενον.
Ἀχθήσας δ' ἄρ' ἔειπον, ἀλεξίκακε τρισέληνε,
Μηδέποθ' ἡττηθεὶς, σήμερον ἐξετάθης.
Νυκτὶ δὲ μειδιόων με Θεὸς προσέειπε παραστὰς,
Καιρῷ δουλεύειν καὶ Θεὸς ὢν ἔμαθον.

## ΕΙΣ ΙΑΤΡΟΥΣ.

Νικομήδους. οἱ δὲ Βάσσου. εἰς Ἱπποκράτην.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σώζετο λαῶν
Ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν' ἀΐδη.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστρέφον.

Εἰν ἀΐδῃ σπάνις ἦν νεκύων, ϗ ἔθνεα λαῶν.
Σώετο· ϗ μερόπων ἦν φάος Ἱπποκράτης.

Λουκιλλίου.

Μάγνος ὅτ' εἰς ἀΐδην κατέβη, τρομέων Ἀϊδωνεὺς,
Εἶπεν, ἀναστήσων ἤλυθε ϗ νέκυας.

Τοῦ αὐτοῦ εἰς ἀεὶ νοσοῦντας.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

## ΕΙΣ ΙΧΘΥΑΣ.

Ἀντιφίλου Βυζαντίου.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
Εἰρεσίῃ Φαίδων εἴσιδε πουλυπόδην.
Μάρψας δ', ὀξὺς ἔρριψεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖρας
Πλέξασθαι βρύγδην ὀκτατόνους ἕλικας.
Δισκηθεὶς δ' ἐπὶ θάμνον ἐς οἰκία δειλὰ λαγωοῦ,
Εἰλιχθὲν ταχινοῦ πτωκὸς ἔδησε πόδας.
Εἷλε δ' ἁλοὺς. σὺ δ' ἄελπτον ἔχεις γέρας ἀμφοτέρωθεν,
Ἄγρης χερσαίης πρέσβυ, ϗ εἰναλίης.

## ΕΙΣ ΚΑΛΛΟΣ.

Ἀντιπάτρου.

Εἰς εὔμορφον κολυμβῶσαν ἐν τῷ Νείλῳ.

Ἁ Κύπρις πρώαν γυμνάν σε βόασεν ἰδοῦσα,
Φεῦ, φεῦ, πῶς σταγόνων ἔκποθεν οὐρανίων
Ζαλώσας ὠδῖνα θαλάσσιον ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς Ἑλένην. Ἄδηλον.

Αἱ χάριτες, τρεῖς εἰσί. σὺ δὴ, μία ταῖς τρισὶ ταύταις
Γεννήθης, ἵν᾽ ἔχωσ᾽ αἱ χάριτες χάριτα.

## ΕΙΣ ΚΟΛΑΚΑΣ.

Βισαντίνου.

Εἴτις ἀνὴρ ἄρχων ἐθέλει κολάκων ἀνέχεσθαι,
Πολλοὺς ἐκδώσει τοῖς μιαροῖς στόμασιν.
Ὥστε χρὴ τὸν ἄριστον ἀπεχθαίροντα δικαίως
Ὡς κόλακας μισεῖν τοὺς κολακευομένους.

Λουκιανοῦ.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
Ἀνθρώπου, καθαρὴν ψευδομένου φιλίην.
Οὐ γὰρ ἔθ᾽ ὡς ἐχθρὸν προφυλασσόμεθ᾽, ἀλλ᾽ ἀγαπῶντες
Ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

Παλλαδᾶ.

Ῥῶ, καὶ λάμβδα, μόνον κόρακας, κόλακάς τε διΐστᾳ.
Οὐκοῦν ταὐτὸ κόραξ, βωμολόχος τε κόλαξ.
Τοὔνεκά μοι βέλτιστε, τόδε ζῶον πεφύλαξο,
Εἰδὼς καὶ ζώντων τοὺς κόλακας, κόρακας.

Ἄδηλον.

Πλαστὸν ἔχεις τὸν ἔρωτα. φόβῳ δὲ φιλεῖς, καὶ ἀνάγκῃ
Τοῦ δὲ φιλεῖν οὕτως, οὐδὲν ἀπιστότερον.

## ΕΙΣ ΛΟΓΟΓΡΑΦΙΑΝ.

Κυρίλλου.

Πᾶν καλὸν ἐστ᾽ ἐπίγραμμα τὸ δίστιχον. ἢν δὲ παρέλθῃς
Τοὺς τρεῖς, ῥαψῳδεῖς, κοὐκ ἐπίγραμμα λέγεις.

Ἄδη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄδηλον εἰ Θουκυδίδου.

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας. εἰ δέγε πάμπαν
Νῆϊς ἔφυς μουσέων, ῥῖψον ἃ μὴ νοέεις.
Εἰμὶ δέ γ' οὐ πάντεσι βατός. παῦροι δ' ἠγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

Ἄδηλον.

Πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ.
Καὶ πᾶσα πρᾶξις, τὸν λόγον ἔργον ἔχει.

## ΕΙΣ ΜΑΙΝΟΜΕΝΟΥΣ.

Κοινῇ πὰρ κλισίῃ ληθαργικὸς, ἠδὲ φρενοπλὴξ
Κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
Ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
Καὶ τὸν ἀναίσθητον παντὸς ἔτυπτε μέλους.
Πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος. αἷς ὁ μὲν αὐτῶν,
Ἔγρετο. τὸν δ' ὕπνου πουλὺς ἔρειψε κόπος.

## ΕΙΣ ΜΑΘΗΜΑΤΑ

Λεωνίδου.

Μάντιες ἀστερόεσσαν ὅσοι ζητεῖτε κέλευθον,
Ἔῤῥοιτ' εἰκαίης ψευδολόγοι σοφίης.
Ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτε
Τλήμονας, οὐδ' ἰδίην εἰδότας ἀκλείην.

## ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ.

Βάσσου.

Πᾶν τὸ περιττὸν, ἄκαιρον· ἐπεὶ λόγος ἐστὶ παλαιὸς,
Ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

Ἰουλιανοῦ.

Οἶκος, καὶ πάξη, βιότου χάρις. αἱ δὲ περισσαὶ

Φρον-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

ΕΙΣ ΜΗΤΡΥΙΑΝ. Καλλιμάχου.

Στήλην μητρυιῆς μικρὰν λίθον ἔστεφε κοῦρος,
Ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος.
Ἡ δὲ, τάφῳ κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα.
Φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

Ἄδηλον.

Μητρυιὴ, προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσαι
Σώζουσιν. Φαίδραν γνῶθι, καὶ Ἱππόλυτον.

## ΕΙΣ ΜΝΗΜΗΝ.

Μακεδονίου Ὑπάτου.

Μνήμη, καὶ λήθη, μέγα χαίρετον. ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ' ἐπὶ λευγαλέοις.

## ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ.

Λουκιανοῦ.

Ἀῤῥήτων ἐπέων γλῶσσῃ σφρηγεὶς ἐπικείσθω.
Κρείσσων γὰρ μύθων, ἡ κτεάνων φυλακή.

## ΕΙΣ ΝΑΟΥΣ.

Ἀντιπάτρου.

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
Καὶ τὸν ἐπ' Ἀλφειῷ Ζῆνα κατηυγασάμην,
Κήπων τ' αἰώρημα, καὶ ἠελίοιο Κολοσσὸν,
Καὶ μέγαν αἰπειναῖν Πυραμίδων κάματον,
Μνᾶμά τε Μαυσωλοῖο πελώριον. ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
Κεῖνα μὲν ἠμαύρωτό τε. κἢν ἴδε νόσφιν Ὀλύμπου
Ἅλιος οὐδέν πω τοῖον ἐπαυγάσατο.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΝΑΥΑΓΙΟΝ.

### Ἰουλίου Λεωνίδου.

Εἰν ἑνὶ κινδυνίους ἔφυγον δύο Μυρτίλος ἔπλω,
Τὸν μὲν ἀριστεύσας, τὸν δ᾽ ἐπιμηξάμενος,
Ἀργέστης ὅτ᾽ ἔδυσε νεὼς τρόπιν. ἀσπίδα δ᾽ ἔχον
Σωθεὶς κεκριμένῳ ὕδατι, καὶ πολέμῳ.

Φιλίππου.

Νῆα μὲν ὤλεσε πόντος, ἐμοὶ δ᾽ ἔπορεν πάλι δαίμων
Πλαζομένῳ φύσιος νῆα ποθεινοτέρην.
Πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἐλθὸν,
Μυνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.
Ἤγαγε δ᾽ εἰς λιμένας με, καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,
Νήπιον ἐν γαίῃ, δεύτερον ἐν Πελάγει.

## ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ.

### Ἀντιπάτρου.

Γειαρότης Ἄρχιππος ὅτ᾽ ἐκ νούσοιο βαρείης
Ἄρτι λιποψυχέων ἔῤῥεεν εἰς ἀΐδην,
Εἶπε παισ᾽ ἡνέεσιν, ὦ φίλα τέκνα, μάκελλαν,
Καὶ τὸν ἀροτρητὴν στέρξατέ μοι βίοτον.
Μὴ σφαλερῆς αἰνεῖτε πόνον στονόεντα θαλάσσης,
Καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
Ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
Τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΝΗΑΣ.

### Ἀδέσποτον.

Ἐκλάσθην ἀνέμοισι πίτυς. τί με τεύχετε νῆα,
Ναυηγῶν ἀνέμων χερσόθι γευσαμένην;

### Ἄδηλον.

Τίπτε με τὴν ἀνέμοισιν ἁλώσιμον ἠλεὲ τέκτων,
Τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
Οὐδ' οἰωνὸν ἔδεισας, ὅτι βορέης μ' ἐδίωξεν
Ἐν χθονί; πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

### Ἀντιφίλου Βυζαντίου.

Μυρία με τρίψασαν ἀμειλιχίοιο θαλάσσης
Κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
Ὤλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος, ἀλλ' ἐπὶ γαίης
Ἥφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
Ἔνθεν ἔφυν, ἀπόλωλα. παρ' ἠϊόνεσσι δὲ κεῖμαι,
Χέρσῳ τὴν πελάγους ἐλπίδα μεμφομένη.

## ΕΙΣ ΟΙΝΟΝ

### Ἰουλιανοῦ Βασιλέως εἰς οἶνον ἀπὸ κριθῆς.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον
Οὔ σ' ἐπιγινώσκω. τὸν Διὸς οἶδα μόνον.
Κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ, τράγου. ἦ ῥά σε Κελτοὶ
Τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
Τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον.
Πυρογενῆ μᾶλλον, καὶ βρόμον, οὐ βρόμιον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΟΡΝΙΝ.

### Παλλαδᾶ.

Τίπτε πανημέριος Πανδιονὶ κάμμορε κούρη,
Μυρομένη κελαδεῖς ξουλὰ διὰ στομάτων;
Ἤτοι παρθενίης πόθος ἵκετο, τὴν τοι ἀπηύρα
Θρηΐκιος Τηρεὺς, αἰνὰ βιασσάμενος;

## ΕΙΣ ΠΑΡΑΜΥΘΙΑΝ.

### Παλλαδᾶ.

Προσδοκίη θανάτου, πολυώδυνός ἐστιν ἀνίη.
Τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
Μὴ τοίνυν κλαύσῃς τὸν ἀποιχόμενον βιότοιο.
Οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

## ΕΙΣ ΠΛΟΥΤΟΥΝΤΑΣ.

### Ἄδηλον.

Ἦν νέος, ἀλλὰ πένης. νῦν γηρῶν, πλούσιός εἰμι.
Ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.
Ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲν εἶχον.
Νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

### Παλλαδᾶ.

Χρυσὲ πάτερ κολάκων, ὀδύνης, καὶ φροντίδος υἱὲ,
Καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

### Λουκιανοῦ.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθὴς,
Τ' ἄλλα δ' ἔχει αὐτὴ πλείονα τῶν κτεάνων.
Τὸν δὲ πολυκτέανον καὶ πλούσιον ἐστι δίκαιον



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κλήζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
Εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
Σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
Οὗτος ὁποία μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις.
Μοχθήσει, ἑτέρων δρεψομένων τὸ μέλι.

Παλλαδᾶ.

Πλουτεῖς; καὶ τί τὸ λοιπόν; ἀπερχόμενος, μὴ σαυτῷ
Τὸν πλοῦτον σύρεις εἰς σορὸν ἑλκόμενος;
Τὸν πλοῦτον συνάγεις, δαπανῶν χρόνον, οὐ δύνασαι δὲ
Ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

## ΕΙΣ ΠΟΙΗΤΑΣ.

Λεωνίδου Ταραντίνου εἰς Ὅμηρον

Ἄστρα μὲν ἠμαύρωσε, καὶ ἱερὰ κύκλα σελήνης,
Ἄξονα δινήσας ἔμπυρος ἠέλιος.
Ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος,
Λαμπρότατον μουσῶν φέγγος ἀνασχόμενος.

Ἀντιπάτρου Σιδωνίου.

Μνημοσύναν ἕλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
Σαπφοῦς· μὴ δεκάταν μοῖσαν ἔχουσι βροτοί;

Πλάτωνος.

Ἐννέα τὰς μούσας φασίν τινες. ὡς ὀλιγώρως.
Ἠνὶ δὲ καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

Ἀδέσποτον.

Ἡρόδοτος μούσας ὑπεδέξατο. τῷ δ' ἄρ' ἑκάστη
Ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΠΟΛΕΙΣ.

Ἀδριανοῦ Καίσαρος, οἱ δὲ, Γερμανικοῦ εἰς Ῥώμην.

Ἕκτορ, ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴπου ἀκούεις,
Χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
Σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ,
Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

Εἰς Μυκήνην Πομπηΐου, οἱ δὲ, Μάρκου Νεωτέρου.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα Μυκήνη,
Εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου,
Ἴλου τις καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
Τείχεα, καὶ Πριάμου πάντ' ἐκένωσα δόμον,
Γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας
Ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

## ΕΙΣ ΠΟΝΗΡΟΥΣ.

Ἀρχίου.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
Χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

## ΕΙΣ ΠΟΡΝΑΣ.

Παλλαδᾶ.

Τὴν Κίρκην οὔ φημι καθὼς εἴρηκεν Ὅμηρος.
Ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἢ λύκους,
Τοὺς αὐτῇ προσιόντας. ἑταίρα δ' οὖσα πανοῦργος,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὰς δελεασθέντας πτωχοτάτας ἐποίει.
Τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
Εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι,
Ἔτρεφεν ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.
Ἔμφρων δ' ὢν Ὀδυσσεὺς, τὴν νεότητα φυγὼν,
Οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίαν ἔμφρονα λογισμὸν
Εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

## ΕΙΣ ΠΟΤΑΜΟΥΣ.

### Ἀντιφίλου.

Λαβροπόδη χείμαῤῥε, τί δὴ τόσον ὧδε κορύσσῃ,
Πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;
Ἢ μεθύεις ὄμβροιο, καὶ οὐ νύμφαισι διαυγὲς
Νᾶμα φέρεις, θολεραῖς δ' ἠράνισ' ἐν νεφέλαις;
Ὄψομαι ἠελίῳ σε κεκαυμένον, ὅστις ἐλέγχειν
Καὶ γόνιμον ποταμὸν, καὶ νόθον οἶδεν ὕδωρ.

## ΕΙΣ ΠΤΩΧΟΥΣ.

### Παλλαδᾶ.

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει.
Καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
Οἱ δὲ τύχας μεγάλας, καὶ χρήματα πολλὰ λαχόντες,
Οὗτοι τὸν θάνατον πτῶσιν ἔχουσι βίου.

### Ἀδήλου.

Εἰ κρίσις ἐστὶ κάτω καὶ Τάνταλος, οὐδὲν ἀπιστῶ
Τῇ πενίῃ, μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΣΙΩΠΗΝ.

Παλλαδᾶ.

Ἦν μεγάλη παίδευσις ἐν ἀνθρώποισι σιωπή.
  Μάρτυρα Πυθαγόρην τὸν σοφὸν αὐτὸν ἔχω.
Ὃς λαλέειν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾶν,
  Φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

Τοῦ αὐτοῦ.

Πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν,
  Τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχρότατον.

## ΕΙΣ ΣΟΦΙΑΝ.

Παύλου Σιλεντιαρίου.

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥίψαι
  Φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.
Πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον· ἡ δὲ περισσὴ
  Θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
Ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
  Καὶ πενίην Πλούτου, καὶ θάνατον βιότου.
Ταῦτα σὺ γιγνώσκων, κραδίης ἴθυνε κελεύθους,
  Εἰς μίαν εἰσορόων ἐλπίδα, τὴν σοφίην.

## ΕΙΣ ΣΥΓΚΡΙΣΙΝ.

Ἄδηλον.

Εἰ κύκνῳ δύναται κόρυδος παραπλήσιον ᾄδειν,
  Τολμῶσι δ' ἐρίσαι σκῶπες ἀηδονίσιν,
Εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
  Ἴσα ποιεῖν καὶ ἐγὼ Παλλαδίῳ δύναμαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ

Ἀντιπάτρου Θεσσαλονικέως.

Ἀντιγένης ὁ Γελῷος ἔπος ποτὲ τοῦτο θυγατρὶ
Εἶπεν, ὅτ' ἦν ἤδη νεύμενος εἰς ἀΐδην,
Παρθένε, καλλιπάρῃε, κόρη δ' ἐμή, ἴσχε συνεργὸν
Ἠλακάτην, ἀρκεῦν κτῆμα πένητι βίῳ.
Ἢν δ' ἵκῃ ἐς ὑμέναιον, Ἀχαΐδος ἤθεα μητρὸς
Χρυσὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

Παλλαδᾶ.

Νηδὺν ἀναίσχυντον στιβαροῖς ἤχυνα λογισμοῖς,
Σωφροσύνῃ κολάσας οὔτερον ἀργαλέον.
Εἰ γὰρ ἔχω τὸν νοῦν ἐπικείμενον ὑψόθι γαστρὸς,
Πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

Τοῦ αὐτοῦ.

Γαστέρα μισήσειε Θεὸς, καὶ βρώματα γαστρός.
Εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

## ΕΙΣ ΤΙΜΗΝ.

Παλλαδᾶ.

Ἐκλήθην παρὰ σοῦ τοῦ ῥήτορος. εἶτ' ἀπελείφθην,
Τὴν τιμὴν ἀπέχω, καὶ πλέον εἰμὶ φίλος.
Οὐδὲ γὰρ ἡ ψυχὴ τὸ φαγεῖν κρίνουσα γέγηθεν.
Ἀλλὰ μόνον τιμῆς αἰθομένη, τρέφεται.

## ΕΙΣ ΤΥΧΗΝ.

Ἄδηλον.

Ἐλπὶς, καὶ σὺ τύχη, μέγα χαίρετε. τὸν λιμέν' εὗρον.
Οὐδὲν ἐμοὶ, χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

Λυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λουκιανοῦ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτὲ, νῦν δὲ Μενίππου.
Καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
Καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
Οἴεται. εἰμὶ δ' ὅλως οὐδενὸς, ἀλλὰ τύχης.

Εἰς ἄρχοντα ἀνάξιον τῆς τοιαύτης προαγωγῆς.

Οὐκ ἐθέλουσα τύχη σε προήγαγεν, ἀλλ' ἵνα δείξῃ,
Ὡς ὅτι καὶ μέχρι σοῦ πάντα ποιεῖν δύναται.

Λουκιανοῦ.

Μὴ πταίων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
Καί σου ῥηϊδίως ἔκλυον ἐξαμένου.
Ἂν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος. ἀλλ' ἅμα πάντα
Ἐχθρὰ, τύχης τε ῥοπαῖς συμμεταβαλλόμενα.

Παλλαδᾶ.

Παίγνιον ἐστὶ τύχης μερόπων βίος, οἰκτρὸς, ἀλήτης,
Πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.
Καὶ τοὺς μὲν, κατάγουσα, πάλιν σφαιρηδὸν ἀείρει.
Τοὺς δ' ἀπὸ τῶν νεφελῶν, εἰς ἀΐδην κατάγει.

Τοῦ αὐτοῦ.

Ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
Τύχην τε πόρνης ῥεύμασιν κινουμένην,
Ὀδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,
Ἀναξίους ὁρῶντες εὐτυχεστέρους.

Λουκιανοῦ.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα.
Τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
Καὶ σοῦ τὴν ὀφρὺν, καὶ τὸν τῦφον καταπαύσει,
Κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ,
Οὐ θρύον, οὐ μαλάχην ἄνεμος ποτὲ, τὰς δὲ μεγίστας
Ἢ δρύας, ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΥΠΕΡΟΨΙΑΝ.

### Παλλαδᾶ.

Ἠέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες,
Ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι
Πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον. ὄργανα δ᾽ ἐσμὲν,
Αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
Εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμὴν,
Ψυχὴν συλήσας, εἰς ἀΐδην κατάγει.
Οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
Πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

## ΕΙΣ ΦΘΟΝΟΝ.

### Τοῦ αὐτοῦ.

Ο᾽ φθόνος οἰκτιρμοῦ καὶ Πίνδαρον ἐστὶν ἀμείνων,
Οἱ βασκαινόμενοι, λαμπρὸν ἔχουσι βίον.
Τοὺς δὲ λίαν ἀτυχεῖς, οἰκτείρομεν. ἀλλά τις εἴην
Μήτ᾽ ἄγαν εὐδαίμων, μήτ᾽ ἐλεεινὸς ἐγώ.
Ἡ μεσότης γὰρ ἄριστον. ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
Κινδύνους ἐπάγειν, ἔσχατα δ᾽ ὕβριν ἔχει.

### Α᾽δήλου.

Ο᾽ φθόνος ἐστὶ κάκιστος· ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
Τήκει γὰρ φθονερῶν ὄμματα, καὶ κραδίην.

## ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ.

### Στατυλλίου Φλάκκου.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον. αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΦΙΛΙΑΝ.

Α'δηλον.

Μήποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Α'δηλον.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα.
Τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
Οὐδένα θωπεύω πρὸς ὑπόκρισιν. οὓς δ' ἄρα τιμῶ,
Τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

Α'δηλον.

Πρᾶγμα μὲν ἔσθ' ὁ φίλος πάνυ δύσκολον. εἰσὶ δὲ πολλοὶ
Καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Α'ποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ε'πτὰ σοφῶν ἐρέω κατ' ἔπος πόλιν, οὔνομα, φωνήν.
Μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον.
Χίλων δ' ἐν κοίλη Λακεδαίμονι, γνῶθι σεαυτόν.
Ο'ς δὲ Κόρινθον ἔναιε, χόλου κρατέειν, Περίανδρος.
Πιττακὸς, μηδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
Τέρμα δ' ὁρᾷν βιότοιο, Σόλων ἱεραῖς ἐν Α'θήναις.
Τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφηνε Πριηνεύς.
Ε'γγύην φεύγειν δὲ, Θαλῆς Μιλήσιος ηὔδα.

Α'δηλον.

Τῇ τῶν λόγων σου κογχύλῃ Πορφύριε,
Βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

Α'δηλον.

Η' φύσις ἐξεῦρεν φιλίης θεσμοὺς ἀγαπῶσα,
Τῶν ἀποδημούντων ὄργανα συντυχίης.

Τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν κάλαμον, χάρτlω, τὸ μέλαν, τὰ χαράγματα χειρὸς,
Σύμβολα τῆς ψυχῆς πλόθεν ἀχνυμένης.

## ΕΙΣ ΦΙΛΟΣΤΟΡΓΙΑΝ.

### Ἀλφειοῦ.

Ἐκ πυρὸς ἰλιακοῦ, δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος πατέρα.
Ἔκλαγε δ' Ἀργείοις, μὴ ψαύετε. μικρὸν ἐς ἄρη
Κέρδος ὁ γηραλέος. τῷ δὲ φέροντι, μέγα.

## ΕΙΣ ΦΡΟΝΗΣΙΝ.

### Λουκιανοῦ.

Ἡ βραδύπους βουλὴ, μέγ' ἀμείνων. ἡ δὲ ταχεῖα,
Αἰὲν ἐφελκομένlω τlὼ μετάνοιαν ἔχει.

## ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ.

### Μιμνέρμου.

Τlὼ σαυτοῦ φρένα τέρπε. δυσηλεγέων δὲ πολιτῶν
Ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

### Παλλαδᾶ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα, καὶ μελέτω σοι.
Εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
Οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις.
Ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

### Τοῦ αὐτοῦ.

Τίπτε μάτlω ἄνθρωπε πονεῖς, καὶ πάντα ταράσσεις,
Κλήρῳ δουλεύων τῷ κατὰ τlὼ γένεσιν;
Τούτῳ σαυτὸν ἄφες. τῷ δαίμονι μὴ φιλονείκει.

Σlὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα.
Μᾶλλον ἐπ᾽ εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοῖραν
Εἰ δυνατὸν ψυχὴν τερπομένην μετάγειν.

## ΕΙΣ ΧΡΟΝΟΝ.

Πλάτωνος.

Αἰὼν πάντα φέρει. δολιχὸς χρόνος οἶδεν ἀμείβειν,
Οὔνομα, καὶ μορφὴν, καὶ φύσιν, ἠδὲ τύχην.

Παλλαδᾶ.

Νυκτὸς ἀπερχομένης, γεννώμεθα ἦμαρ ἐπ᾽ ἦμαρ,
Τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι,
Ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,
Τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.
Μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα περισσῶν.
Τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

Ἄδηλα.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα.
Ἓν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.
Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον, ἣν δὲ παρέλθῃ,
Ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

## ΕΙΣ ΩΡΑΣ, καὶ ΜΗΝΑΣ.

Ἄδηλον.

Ἓξ ὧραι μόχθοις ἱκανώταται. αἱ δὲ μετ᾽ αὐτὰς,
Γράμμασι δεικνύμεναι, ΖΗΘΙ λέγουσι βροτοῖς.

Μῆνες Ῥωμαίων Κατὰ δίστιχον ἅπαντες ἐκφρασθέντες
ἀπὸ Γαννουαρίου μέχρι Δεκεμβρίου.

Ἐξ ἐμέθεν λυκάβαντος ὑπ᾽ ἠελίοιο θύρετρα
Αὐσονέοις ὕψος δέρκεται ἠέλιος.
Αὐτὰρ ἐγὼ θαμινῇς γαίην νιφάδεσσι διαίνω,

Τό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοίχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.
Ἄρχετ' Ἄρης ἀπ' ἐμοῖο, καὶ αὔθεα, καὶ γλάγος ἤδη.
Ἴση δ' εἰκοςῷ ἤματι νὺξ τελέθει.
Ἐτιιώοι τῆμος δὲ φωτοσκάφος ἔρνεα τάμνων,
Ῥίζῃ ἐπ' ἀκροτάτῃ ἥμερον ἀκρέμονα.
Οἴγεται ἄρτι θάλασσα· ἐφοπλίζοιτε δὲ νῆας.
Ὥριον ἀκλύςων ἐκτὸς ἄγειν λιμένων.
Μεσσάτιος ῥόδα εἰμὶ, καὶ ἀργυφοῖο κείνοιο,
Καὶ ξανθῆς κεράσου βρίθομαι ἀκρέμοσιν.
Καρκίνον ἠέλιος μετανείσεται. ἀςάχυας δὲ
Καρφαλέους κείρει γειοπόνος δρεπάνῃ.
Κείνω ἐγὼ πυῤῥὸν, καὶ ἀχυρμιάς. ἐν δὲ λέοντι,
Ἀῤῥεκέα τελέθει χεύματα νηϊάδων.
Βρίθω ἐγὼ ςαφυλῇ, βρίθω δ' ἐπὶ πάσῃ ὀπώρῃ.
Αὖθις δ' ἰσοπαλὴς γίγνεται ἤματι νύξ.
Τίς δὲ κ' ἐμεῖο πέλει γλυκερώτερος, ὃς μέθυ λίων
Ἡδὺ ἐπικατάγω, Βάκχον ἀπ' οἰνοπέδου,
Εἴτοι Ἀθηναίης πέλει ἔρνεα, ὥριον ἤδη
Καρπὸν ἀποθλίβειν, μνῆςιν ἔχειν καμάτων.
Παύσασθαι νειοῦ κέλομαι. γλαγόωντι γὰρ ἤδη
Σπέρματι ῥιγεδανὴ πηγυλὶς αὐτιάσει.

Θέωνος μονόςιχον εἰς τὴν ἑβδομάδα.

Ζεῦς, ἄρης, παφίη, μήνη, κρόνος, ἥλιος, ἑρμῆς.

ΕΠΙ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΚΛΕΚΤΑ ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ

## ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ.

### Λουκιλλίου.

Οὗτος ὁ νῦν βέλτιστος Ὀλυμπικὸς εἶχε τὸ πρόσθεν,
Ῥῖνα, γένειον, ὀφρύν, ὠτάρια, βλέφαρα.
Εἶτ' ἀπογραψάμενος πύκτης, ἀπολώλεκε πάντα,
Ὥς τ' ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος.
Εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προσενήνοχεν αὐτοῦ·
Καὶ κέκριτ' ἀλλότριος μηδὲν ὅμοιον ἔχων.

### Τοῦ αὐτοῦ.

Εἰκοσέτους σωθέντος Ὀδυσσέως εἰς τὰ πατρῷα,
Ἔγνω τὴν μορφὴν ἀργὸς ἰδὼν ὁ κύων.
Ἀλλὰ σὺ πυκτεύσας Στρατοφῶν ἐπὶ τέσσαρας ὥρας,
Οὐ κυσὶν ἄγνωστος, τῇ δὲ πόλει γέγονας.
Ἢν ἐθέλῃς δὲ πρόσωπον ἰδεῖν ἐς ἔσοπτρα σεαυτοῦ,
Οὐκ εἰμὶ Στρατοφῶν, αὐτὸς ἐρεῖς ὀμόσας.

Νι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νικάρχου.

Πέντε μετ' ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
  Θαῦμα μὲν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
Ἓξ ὄντων, τάχ' ἐρεῖς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
  Θάρσει Χάρμε λέγων, ἦλθεν ἐν ἱματίῳ.
Ἕβδομος οὖν οὕτω παραγίγνεται. εἰδ' ἔτι πέντε
  Εἶχε φίλους, ἦλθ' ἂν Ζωΐλε, δωδέκατος.

Ἄδηλον.

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν, εἴτ' ἐκάθητο,
  Οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.
Ὁ ψόφος ἦν ὕσπληγγος ἐν οὔασι, καὶ στεφανοῦται
  Ἄλλος. καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

Λουκιανοῦ.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν, καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις
  Τοῖς ποσί σου τρῶγε, καὶ τρέχε τῷ στόματι.

## ΕΙΣ ΑΔΥΝΑΤΟΝ.

Τοῦ αὐτοῦ.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης.
  Οὐ δυνάσαι δνοφερὴν νύκτα καθηλιάσαι.

## ΕΙΣ ΑΝΟΗΤΟΥΣ.

Ἄδηλα.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
  Τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

Ἄλλο.

Ἔσβεσε τὸν λύχνον μωρὸς, ψυλλῶν ὑπὸ πολλῶν
  Δακνόμενος, λέξας, οὐκ ἔτι με βλέπετε.

Ἀδη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Α'δηλον.

Η'ν ἐσίδῃς κεφαλὴν μαδαρὰν, καὶ στέρνα, καὶ ὤμυς,
Μηδὲν ἐρωτήσῃς. μωρὸν ὁρᾷς φαλακρόν.

## ΕΙΣ ΑΣΕΛΓΕΙΣ.

Α'δηλον.

Α'νέρας ἠρνήσαντο, καὶ ἐκ ἐγένοντο γυναῖκες.
Οὔτ' ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν.
Οὐδὲ γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν.
Α'νέρες εἰσὶ γυναιξὶ, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.

Α'δηλον.

Ε'ιρήνη πάντεσσιν, Ε'πίσκοπος εἶπεν ἐπελθών.
Πῶς δύναται πᾶσιν, ἣν μόνος ἔνδον ἔχει;

## ΕΙΣ ΑΣΤΡΟΛΟΓΟΥΣ.

Λυκιλλίου.

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
Πάντες ἐμαντεύσανθ' ὡς ἀφ' ἑνὸς στόματος.
Α'λλ' Ε'ρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον.
Εἶπε δ', ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

Λυκιλλίου.

Πρὸς τὸν μάντιν Ο'λυμπον Ο'νήσιμος ἦλθ' ὁ παλαιστὴς,
Καὶ πένταθλος Υ'λας, καὶ σαδιεὺς Μενεκλῆς,
Τίς μέλλει νικᾶν αὐτὸν τὸν ἀγῶνα θέλοντες
Γνῶναι. κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδὼν,
Πάντες ἔφη νικᾶτε, μόνον μήτις σε παρέλθῃ,
Καὶ σε καταστρέψῃ, καὶ σε παρεξοχάσῃ.

## ΕΙΣ ΓΡΑΙΑΣ,

Λυκιλλίου.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τρικόρωνος,
Γίγνεται ἐξαπίνης ἐ νέα, ἀλλὰ Ρ'έα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νικάρχυ.

Η῾ πολιὴ κροτάφοισι Κοτυτταρὶς ἡ πολύμυθος
Γραῖα, δι᾽ ἣν Νέςωρ ἐκ ἔτι πρεσβύτατος,
Η῾ φάος ἀθρήσασ᾽ ἐλάφε πλέον, ἡ χερὶ λαιῇ
Γῆρας ἀειθμεῖσθαι δεύτερον ἀρξαμένη,
Ζώει, καὶ λεύσεσα, καὶ ἀρτίπος, οἷά τε νύμφη,
Ω῾ς τέ με διςάζειν μή τι πέπονθ᾽ ἀΐδης.

Τῦ αὐτῦ.

Τὴν δύσκωφον γραῖαν Ο᾽νήσιμε, πρὸς Διὸς ἔξω
Ε῎κβαλε. πολλὰ λίαν πράγματά μοι παρέχει.
Η῏ν αὐτῇ τυρὲς ἁπαλὲς εἴπωμεν ἐνέγκαι,
Ου᾽ τυρὲς, πυρὲς δ᾽ ἔρχετ᾽ ἔχεσα νέες.
Πρώην τὴν κεφαλὴν ἐπόνεν, καὶ πήγανον αὐτὴν
Η῎τουν, ἡ δ᾽ ἔφερεν τήγανον ὀςράκινον.
Η῏ν ὀπὸν αἰτήσω, δοκὸν εἰσφέρει. αὖ λάχανόν μοι
Ε῎ιπω δὸς πεινῶν, δέ᾽θ᾽ φέρει λάσανον.
Ο῎ξος αὖ αἰτήσω, τόξον φέρει. αὖ δέ γε τόξον,
Ο῎ξος. ὅλως δ᾽ ὃ λέγω, ἔποτ᾽ ἐπαισθάνεται.
Αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
Καὶ μελετᾷν ἔξω νυκτὸς ἐγειρόμενον.

Λυκιλλίε.

Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας ἔποτε βάψεις.
Ου᾽δὲ παρειάων ῥυτίδας ἐκτανύσεις.
Μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
Ω῎ςτε προσωπεῖον, κ᾽ ἐχὶ πρόσωπον ἔχειν.
Ου᾽δὲν γὰρ πλέον ἐςί. τί μαίνεαι, ἔποτε φῦκος,
Καὶ ψίμυθος τεύξει τὴν Ε῾κάβην Ε῾λένην.

Α῎δηλα.

Τὴν γραῦν ἐκκομίσας φρονίμως, πάνυ Μόσχος ἔγημε
Παρθενίον. ἡ φερνὴ δ᾽ ἔνδον ἔμεινεν ὅλη.



Αγιορείτικη Κεντρική Βιβλιοθήκη Βερροίας

Ἄξιον αἰνῆσαι Μόσχου φρένας, ὃς μόνος οἶδε
 Καὶ τίνα δεῖ κινεῖν, καὶ τίνα κληρονομεῖν.

Ἄλλο.

Ἤκμασε Νικονόη. κἀγὼ λέγω. ἤκμασε δ' αὐτὴ,
 Ἡνίκα Δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
Ταῦτα μὲν ἂν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτην
 Οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

Ἄλλο.

Ἄλλην δρυῦ βαλάνιζε, Μενέθιον. οὐ γὰρ ἔγωγε
 Ἔκκαιρον μήλων προσδέχομαι ῥυτίδα,
Ἀλλ' ἀεὶ πεπόθηκα συνακμάζουσαν ὀπώρην.
 Ὥςτε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

Ἄλλο.

Γινώσκειν σε θέλω Πλακιανὲ σαφῶς, ὅτι πᾶσα
 Ἔγχαλκος γαῖα, πλουσία ἐστὶ σορός.

Νικίου.

Τὴν κεφαλὴν βάπτων τις, ἀπώλεσε τὰς τρίχας αὐτᾶς,
 Καὶ δασὺς ὢν λίαν, ὠὸν ἅπας γέγονεν.
Τοῦτο βαφεὺς ἐβόησε, τὸ μηκέτι κουρέα τέμνειν,
 Μήτε κόμην λευκὴν, μήτε μελαινομένην.

## ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ.

Λουκιλλίου.

Ἂν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,
 Εὐθὺς σολοικίζον τὸ στόμα μου δέδεται.

Ἀπολλιναρίου.

Γραμματικός ποτ' ὄνῳ ἐποχούμενος ἐξεκυλίσθη,
 Καὶ τῆς γραμματικῆς, ὡς λόγος, ἐξέπεσεν.
Εἶθ' ἑξῆς ἐβίου κοινὸν βίον ὡς ἰδιώτης.
 Ὧν ἐδίδασκεν ἀεὶ μηδὲν ἐπιστάμενος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλλὰ Γλύκων ἔπαθε τοὐναντίον, ὢν γὰρ ἄπειρος
Καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,
Νῦν λιβυκοὺς κανθώνας ὀχεύμενος, εἶτ᾽ ἀποπίπτων
Πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονεν.

Λουκιλλίου.

Ἔξω παιδεύεις Πάριδος κακὰ, καὶ Μενελάου,
Ἔνδον ἔχων πολλοὺς τῆς Ἑλένης Πάριδας.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Παλλαδᾶ.

Πᾶσα γυνὴ χόλος ἐστίν. ἔχει δ᾽ ἀγαθὰς δύο ὥρας,
Τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

## ΕΙΣ ΔΕΙΛΟΥΣ.

Λουκιλλίου.

Ἄνθρακα, καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
Φρίσσει καὶ τὸ μάταιον ἴδιον ξίφος· ἢν δέ ποτ᾽ εἴπῃς
Ἔρχοιτ᾽, ἐξ ἀπίνης ὕπτιος ἐκτέταται.
Οὐδενὶ δ᾽ οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ,
Ἀλλὰ φίλῳ χρῆται πάντοτε Λυσιμάχῳ.

Τοῦ αὐτοῦ.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
Ὡς ἔθος ἐστὶν ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην
Ἄσφυκτος, καὶ χλωρὸς ὁ θύριος ἐξετανύσθη,
Ζωγρεῖτε κράξας Τρῶες ἀρηΐφιλοι.
Ὡς μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
Ζῆν, τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΔΥΣΕΙΔΕΙΣ.

### Λουκιλλίου.

Ῥύγχος ἔχουσα Βιτὼ τριπιθήκινον, εἶον ἰδοῦσαν
  Τὴν Ἑκάτην αὐτὴν οἴομ᾽ ἀπαγχονίσαι,
Εἰμὶ λέγει σώφρων Λουκίλλιε, καὶ μονοκοιτῶ.
  Αἰδεῖται γὰρ ἴσως παρθένος εἰμὶ λέγειν.
Ὃς δὲ λέγει μισεῖν με, κακὸν πιοῦτο γαμήσας,
  Τῆς αὐτῆς χοίη τέκνα σαοφροσύνης.

### Ἄδηλον.

Ἡ ῥὶς Κάστορός ἐστιν, ὅταν σκάπτῃ τι, δίκελλα.
  Σάλπιγξ δ᾽ ἂν ῥέγχῃ· τῇ δὲ τρύγῃ δρέπανον.
Ἐν πλοίοις, ἄγκυρα· κατασπείροντι δ᾽ ἄροτρον.
  Ἄγκιστρον, ναύταις· ὀψοφάγοις, κρεάγρα.
Ναυπηγοῖς, κσόδυλα· γεωργοῖς δὲ, πρασόκουρον.
  Τέκτοσιν, ἀξίνη· τοῖς δὲ πυλῶσι, κόραξ.
Οὕτως εὐχρήστου σκεύους Κάστωρ τετύχηκε,
  Ῥῖνα φέρων πάσης ἅρμενον ἐργασίας.

### Θεοδώρου.

Ἑρμοκράτης τῆς ῥινὸς, ἐπεὶ τὴν ῥῖνα λέγοντες
  Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

### Λεωνίδου.

Ἰχθὺν ὁ γρυπὸς Σωσίπολις οὐκ ἀγοράζει,
  Προῖκα δ᾽ ἔχει πολλὴν ἐξ ἁλὸς ἀμβοσίην.
Οὐ λίνον, οὐ κάλαμον προσάγων, τῇ ῥινὶ δὲ πρηθεὶς
  Ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

### Τοῦ αὐτοῦ.

Ζηνογένους οἶκος κατεκαίετο· πολλὰ δ᾽ ἐμόχθει
  Ἐκ θυρίδος ζητῶν αὐτὸν ὑπερχαλάσαι.
Ἱκρία συμπήξας, οὐκ ἔφθασεν· ὀψὲ δ᾽ ἐπιγνοὺς,
  Τὴν ῥῖν᾽ Ἀντιμάχου κλίμακα θεὶς, ἔφυγεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀμμονίδου.

Ἀντιπάτρου γυμνὴν εἴτις Πάρθοισιν ἔδειξεν,
Ἔκτοθεν αὖ στηλῶν Ἡρακλέους ἔφυγον.

Λουκιλλίου.

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς. εἰ γὰρ ἀληθὲς
Ἔβλεπεν, οὐκ αὖ ὅλως ἤθελεν αὐτὸ βλέπειν.

Ἄδηλον.

Κερκίδος οὐ χρήζεις ὁ λογιστικὸς, οὐ δὲ μέλει σοι.
Καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

Ἀμμιανοῦ.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
Τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
Οὐδὲ λέγει, Ζεῦ σῶσον, ἐὰν πταρῇ. οὐ γὰρ ἀκούει
Τῆς ῥινός. πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

Ἰουλιανοῦ Ἀντικένσωρος.

Ἀμητὸς πολὺς ἐστὶ τεὴν καὶ δάσκιον ὄψιν.
Τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

Τραϊανοῦ Βασιλέως.

Ἀντίον ἠελίου στήσας ῥῖνα, καὶ στόμα χάσκων,
Δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

Ἀδέσποτον.

Κήλην κηλήτου μὴ φαινομένου προτέθεικας.
Μή μοι τὴν κήλην· αὐτὸν ἰδεῖν ἐθέλω.

Ἄδηλον.

Τοῦ γρυποῦ ῥήτορος ὁρῶ τὴν ῥῖνα Μενίππε.
Αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.
Πλὴν ἥξει· μείνωμεν ὅμως· οὐ γὰρ πολύ· πέντε
Τῆς ῥινὸς σταδίους, οἴομαι, οὐκ ἀπέχει.
Ἀλλ' αὐτὴ μὲν, ὁρᾷς, προπορεύεται. ἦν δ' ἐπὶ βουνὸν
Ὑψηλὸν στῶμεν, κἀυτὸν ἐσοψόμεθα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΔΥΣΩΔΕΙΣ.

Νικάρχου.

Εἴμε φιλεῖς, μισεῖς με. καὶ εἰ μισεῖς σύ, φιλεῖς με.
Εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει.

Λουκιανοῦ.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστής,
Ἐξέβαλ', οὐχ ὅρκων, ἀλλὰ κόπρων δυνάμει.

Τοῦ αὐτοῦ.

Οὔτε Χίμαιρα τοιοῦτον ἔπνει κακὸν ἡ καθ' Ὅμηρον,
Οὐκ ἀγέλη ταύρων, ὡς ὁ λόγος, πυρίπνους.
Οὐ λῆμνος σύμπασ', οὐχ Ἁρπυιῶν τὰ περισσὰ,
Οὐδ' ὁ Φιλοκτήτου ποὺς ἀποσηπόμενος.
Ὥς τέ σε παμψηφεὶ νικᾶν, Τελέσιλλα, Χιμαίρας,
Σηπεδόνας, Ταύρους, Ὄρνεα, Λημνιάδας.

Ἄδηλον.

Οὐ μόνον αὐτὴ πνεῖ Δημοστρατὶς, ἀλλὰ δι' αὐτῆς
Τοὺς ὀσμησαμένους πνεῖν πεποίηκε τράγου.

## ΕΙΣ ΔΟΛΙΟΥΣ.

Λουκιλλίου.

Εἴμε φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδίκει σύ,
Ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίην θέμενος.
Πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονα φημὶ
Τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίης.
Φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
Τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπολλιναρίου.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδὲν ἀδικεῖς με.
Ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων.

## ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ.

Λεωνίδου.

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος ἔθηκε,
Πλὴν τοῦ Μηνοδότου πᾶσιν ὁμοιοτάτην.

Τοῦ αὐτοῦ.

Γράψας Δευκαλίωνα Μενέστρατε, καὶ Φαέθοντα,
Ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
Τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν. ἄξιος ὄντως
Ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

Λουκιλλίου.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱούς,
Οὐδ' ἀπὸ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

Τοῦ αὐτοῦ.

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον. οὐ δύνασαι δὲ
Φωνὴν συλῆσαι, χρώματι πειθομένην.

## ΕΙΣ ΙΑΤΡΟΥΣ.

Τοῦ αὐτοῦ.

Ἑρμογένην τὸν Γαζὸν ὁ ἀστρολόγος Διόφαντος
Εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
Κἀκεῖνος γελάσας· τί μὲν ὁ Κρόνος ἐννέα μηνῶν
Φησὶ λέγει, σὺ νόει. τἀμὰ δὲ συντομά σοι.
Εἶπε, καὶ ἐκτείνας, μόνον ἥψατο. καὶ Διόφαντος
Ἄλλον ἀπελπίζων αὐτὸς ἀπεσκάρισεν.

Τοῦ αὐτοῦ.

Ἥντιν' ἔχεις ἐχθρὸν Διονύσιε, μὴ καταράσῃ
Τὴν Ἶσιν τούτῳ, μὴ δὲ τὸν Ἀμφικράτη.

Μήδ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μήδ' εἴτις τυφλὸς ποιεῖ, Θεὸν, ἀλλὰ Σίμωνα.
  Καὶ γνώσῃ τί Θεὸς, καὶ τί Σίμων δύναται.

Τοῦ αὐτοῦ.

Εἰς ἄϊδος κατέπεμψε πάλαι ποτὲ δέσποτα Καῖσαρ,
  Ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα.
Νῦν δ' ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥστε λεγέσθω
  Κλινικὸς Εὐρυσθεὺς, μηκέτι Μηνοφάνης.

Νικάρχου.

Οὔτ' ἔκλυσεν Φείδων μ', οὔθ' ἥψατο. ἀλλὰ πυρέξας,
  Ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

Τοῦ αὐτοῦ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
  Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
Τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
  Τέθνηκεν. γέγονεν δ' ὀρθότερος κανόνος.

Τοῦ αὐτοῦ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος.
  Ζῶν γὰρ χωλεύειν, φησὶν, ἔμελλε τάλας.

Τοῦ αὐτοῦ.

Πέντ' Ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
  Πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν.
Καὶ πᾶσιν μία νὺξ, ἓν φάρμακον, εἷς σοροπηγὸς,
  Εἷς τάφος, εἷς ἀΐδης, εἷς κοπετὸς γέγονεν.

Ἡδύλου.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ.
  Ἀλλ' ὅσον εἰσῆλθεν, κᾤχετ' Ἀρισταγόρης.
Ποῦ τοίην ἀκόνιτον ἔχει φύσιν; ὦ σοροπηγοὶ,
  Ἆγιν καὶ μίτραις βάλλετε, καὶ στεφάνοις.

Λουκιλλίου.

Ἑρμογένην τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις,
  Οὐκ ἔτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

Ἀγα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγαθίυ.

Γνήπόρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
Ὥςτε μαθεῖν παρ᾽ ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ μῆνιν ἄειδε, καὶ ἄλγεα μυρί᾽ ἔθηκεν
Ἔγνω, καὶ τὸ τρίτον τοῖς δ᾽ ἀκόλυθον ἔπος,
Πολλὰς δ᾽ ἰφθίμυς ψυχὰς ἄϊδι προΐαψεν,
Οὐκ ἔτι μιν πέμπει πρός με μαθησόμενον.
Ἀλλά μ᾽ ἰδὼν ὁ πατὴρ, σοὶ μὲν χάρις εἶπεν ἑταῖρε,
Αὐτὰρ ὁ παῖς παρ᾽ ἐμοὶ ταῦτα μαθεῖν δύναται.
Καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
Καὶ πρὸς τῦτ᾽ ὐδὲν γραμματικῦ δέομαι.

## ΕΙΣ ΙΠΠΟΥΣ.

Λυκιλλίυ.

Θεσσαλὸν ἵππον ἔχεις Ἐρασίςρατε, ἀλλὰ σαλεῦσαι
Οὐ δύνατ᾽ αὐτὸν ὅλης φάρμακα Θεσσαλίης.
Ὄντως δύρειον ἵππον. ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
Σὺν Δαναοῖς, Σκαιὰς ὐκ ἂν ἐσῆλθε πύλας.
Ὃν ςήσας ἀνάθημα Θεῦ τινος, εἰ προσέχεις μοι,
Τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

## ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ,

Καὶ Τραγῳδύς. Λεωνίδυ.

Νυκτικόραξ ᾄδει θανατηφόρον. ἀλλ᾽ ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

Τῦ αὐτῦ.

Σιμύλος ὁ ψάλτης, τὺς γείτονας ἔκτανε πάντας,
Νυκτὸς ὅλης ψάλλων, πλὴν ἑνὸς Ὠριγένυς.

Κα-

Κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο. τοὔνεκεν αὐτῷ
Ζωὴν ἀντ᾽ ἀκοῆς δῶκε πολυχρονιωτέρην.

Ἀμμιανοῦ.

Νικήτης ᾄδων, τὴν ᾠδὴν ἔστιν Ἀπόλλων.
Ἂν δὲ ἰατρεύῃ, τὴν θεραπευομένην.

# ΕΙΣ ΚΛΕΠΤΑΣ.

Λουκιλλίου.

Τὴν ἀναδυομένην ἀπὸ μητέρος ἄρτι θαλάσσης
Κύπριν ὅλην χρυσῆν ἐχθὲς ἔκλεψε Δίων.
Καὶ χερὶ προσκατέσυρεν ὁλοσφύρειον Ἄδωνιν,
Καὶ τὸ παρεστηκὸς μικρὸν ἐρωτάριον.
Αὐτοὶ νῦν ἐρέουσιν, ὅσοι ποτὲ φῶρες ἄριστοι,
Οὐκ ἔτι σοι χειρῶν εἰς ἔριν ἐρχόμεθα.

Τοῦ αὐτοῦ.

Τὸν πτηνὸν Ἑρμῆν, τὸν θεῶν ὑπηρέτην,
Τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάτην,
Ἑστῶτα τῶνδε Γυμνασίων Ἐπίσκοπον,
Ὁ νυκτοκλέπτης Αὖλος εἶπε βαστάσας,
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

Τοῦ αὐτοῦ.

Εἰ πόδας εἶχε Δίων, οἵας χέρας, οὐκ ἔτ᾽ ἂν Ἑρμῆς
Πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ Δίων ἐκέκλητο.

Τοῦ αὐτοῦ.

Ἐκ τῶν Ἑσπερίδων τοῦ Διὸς ἦρε Μενίσκος
Ὡς τὸ πρὶν Ἡρακλέης χρύσεα μῆλα βίᾳ.
Καὶ τί γάρ; ὡς ἑάλω, γέγονεν μέγα πᾶσι θέαμα,
Ὡς τὸ πρὶν Ἡρακλέης ζῶν κατακαιόμενος.

Τοῦ αὐτοῦ.

Εἴσιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
Κ᾽ οὐκ ἔτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΚΟΥΡΕΑΣ.

Λουκιλλίου.

Τὸν δασιὺ Ἑρμογένη ζητεῖ πόθεν ἄρξεθ' ὁ κουρεὺς
Κείρειν τὴν κεφαλὴν, ὅνθ' ὅλον ὡς κεφαλήν.

## ΕΙΣ ΚΩΦΟΥΣ.

Νικάρχου.

Δυσκώφῳ δύσκωφος ἐκρίνετο. καὶ πολὺ μᾶλλον
Ἦν ὁ κριτὴς τούτων τῶν δύο κωφότερος.
Ὧν ὁ μὲν ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
Μηνῶν πένθ'. ὁ δ' ἔφη νυκτὸς ἀληλεκέναι.
Ἐμβλέψας δ' αὐτοῖς ὁ κριτὴς λέγει, ἐς τί μάχεσθε;
Μήτηρ ἔσθ' ὑμῖν; ἀμφότεροι τρέφετε.

## ΕΙΣ ΛΑΙΜΑΡΓΟΥΣ.

Λουκιλλίου.

Ἦν βραδὺς Εὐτυχίδης σαδιοδρόμος, ἀλλ' ἐπὶ δεῖπνον
Ἔτρεχεν, ὥστε λέγειν, Εὐτυχίδης πέταται.

## ΕΙΣ ΛΕΠΤΟΥΣ, ΚΑΙ ΜΙΚΡΟΥΣ.

Λουκιλλίου.

Ἐν καλάμῳ πήξας ἀθέρα Στρατόνικος ὁ λεπτὸς,
Καὶ τειχὸς, ἐκδήσας αὐτὸν, ἀπηγχόνισε.
Καὶ τί γάρ; οὐχὶ κάτω βρῖσεν βαρὺς, ἀλλ' ὑπὲρ αὐτοῦ,
Νηνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Εἰς σάλπιγγ' ἐνέπνευσεν ὅσον βραχὺ Μάρκος ὁ λεπτὸς,
Καὶ κατὰ τῆς κεφαλῆς εὐθὺς ἀπῆλθε κάτω.

Ἀμμιανοῦ.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν,
Εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς.
Ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

Λουκιλλίου.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον ἦρεν ὁ καπνὸς,
Καὶ διὰ τῶν θυρίδων ἔνθεν ἀπῆλθεν ἔχων.
Ἀλλὰ μόλις νεφέλῃ προσενήξατο, καὶ δι' ἐκείνης
Προσκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

Τοῦ αὐτοῦ.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν,
Εἶναι, τοῦτο δοκῶν Ἄλκιμε λεπτότατον.
Εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
Τοῦ καὶ τῶν ἀτόμων πουλύτι λεπτοτέρου.
Ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἂν,
Ἐκ τούτου δ' αὐτὰς, Ἄλκιμε, τὰς ἀτόμους.

Τοῦ αὐτοῦ.

Ἱππεύων μύρμηκι Μενέστρατος ὡς ἐλέφαντι,
Δύσμορος ἐξαπίνης ὕπτιος ἐξετάθη.
Λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησὶν,
Οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

Τοῦ αὐτοῦ.

Τὸν μέγαν ἐζήτουν Εὐμήκιον· ὃς δ' ἐκάθευδε,
Μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας.

Τοῦ αὐτοῦ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς, ἐπέτατο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ τάχει αὖ ἐῤῥοίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
Τοὺς πόδας ἐμπλεχθεὶς, ὕπτιος ἐκρέματο.
Αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς,
Ἕκταιος κατέβη νήματι τῆς ἀράχνης.

Λουκιλλίου.

Βαλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
Νῆμα λαβὼν ἀράχνης, αὑτὸν ἀπηγχόνισεν.

Τοῦ αὐτοῦ.

Σῶμα φέρων σκιοειδὲς, ἀειδεῖ σύμπνοον αὔρῃ,
Μήποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι.
Μήτις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσῃ,
Ἄσθματος ἠερίου πολλὸν ἐλαφρότερον.
Οὐ σὺ μόρον τρομέεις. τότε γὰρ πάλιν οὐδὲν ἀμείψας
Ἔσσεαι ὡσαύτως φάσμα, τόπερ πέλεθεις.

Ἀδήλου.

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
Τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

## ΕΙΣ ΜΑΚΡΟΥΣ.

Λουκιλλίου.

Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει
Οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον.
Στῆσαι δ' εἴποτ' ἔχρηζεν, ἔδει τοὺς παῖδας ἀπ' ὄρθρου
Τὴν ὀροφὴν τρῆσαι πέντ' ἐπὶ πέντε πόδας.

Ἀμμιανοῦ.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
Ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΜΕΘΥΣΟΥΣ.

Εἰς Ἀπιανὸν ἡγεμόνα πότην.

Γράμμα περισσὸν ἔχεις, τὸ προκείμενον. ἦν ἀφέλῃ τίς
Τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

## ΕΙΣ ΟΚΝΗΡΟΥΣ.

Τοῦ αὐτοῦ.

Τῆς νυκτὸς ζοχάσας ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργὸς,
Οὐκ ἔτ' ἐκοιμήθη, μὴ πάλι που ζοχάσῃ.

Τοῦ αὐτοῦ.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς ἑκοντὶ
Ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

Τοῦ αὐτοῦ.

Οὕτως ἔς' ἀργὸς Πανταίνετος, ὥςτε πυρέξας,
Μηκέτ' ἀνασῆναι παντὸς ἐδεῖτο Θεοῦ.
Καὶ νῦν οὐκ ἐθέλων μὲν ἐγείρεται, ἐν δὲ οἱ αὐτῷ
Κωφὰ Θεῶν ἀδίκων οὔατα μεμφόμενος.

Τοῦ αὐτοῦ.

Ἐκλήθην ἐχθὲς Δημήτριε. σήμερον ἦλθον
Δειπνεῖν. μὴ μέμφῃ, κλίμακ' ἔχεις μεγάλην.
Ἐν ταύτῃ πεποίηκα πολὺν χρόνον. οὐδ' ἂν ἐσώθην
Σήμερον, ἀλλ' ἀνέβην, κέρκον ὄνου κατέχων.

## ΕΙΣ ΟΡΧΗΣΤΑΣ.

Λουκιλλίου.

Ἐκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν ἀρίςων;
Ἢ ποίου σε μύλου κόψατο λατομιῶν;

Ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἢ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης,
Ὀρχηστής, Νιόβης ἔμπνοον ἀρχέτυπον.
Ὥστε με θαυμάζοντα λέγειν, ὅτι καὶ σὺ τὶ Λητοῖ
Ἤρισας, οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

Παλλαδᾶ.

Δάφνην, καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμός.
Ὡς ξύλινος δάφνην, ὡς λίθινος Νιόβην.

## ΕΙΣ ΠΟΙΗΤΑΣ.

Πολλιανοῦ.

Εἰσὶ καὶ ἐν μεγίστοισιν ἐριννύες, αἵτε ποιοῦσι
Ποιητὴν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
Τοίνυν σοῦ δέομαι, γράφε πλείονα. μείζονα γάρ σοι
Εὔξασθαι ταύτης, οὐ δύναμαι μανίην.

Εὐήνου εἰς Ὅμηρον.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν Ἴλιον ἱρὴν,
Τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
Αἰῶνος τέφρη κατεδήδοκεν. ἀλλ' ἐν Ὁμήρῳ
Κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
Οὐκ ἔτι με σκάψει Τρωοφθόρα δοῦρατ' Ἀχαιῶν,
Πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόμασιν.

Λουκιλλίου.

Οὔτ' ἐπὶ Δευκαλίωνος, ὕδωρ ὅτε πάντ' ἐγενήθη,
Οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
Ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητὴς,
Καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
Ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΠΟΛΥΤΕΧΝΕΙΣ.

### Παλλαδᾶ.

Τέκνον ἀπαιδείης, ἀμαθέστατε, θρέμμα μωρίης,
Εἰπὲ τί βρενθύῃ, μηδὲν ἐπιστάμενος;
Ἐν μὲν γραμματικοῖς, ὁ Πλατωνικός. αὖ δὲ Πλάτωνος
Δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
Ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον. οὔτε δὲ τέχνην
Οἶσθα γραμματικὴν, οὔτε Πλατωνικὸς εἶ.
Πάντα μὲν οἶδα, λέγεις. ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις.
Γευόμενος πάντων, οὐδὲν ἔχεις ἴδιον.

## ΕΙΣ ΜΟΝΗΡΟΥΣ.

### Ἀμμιανοῦ.

Εἴησοι κατὰ γῆς κούφη κόνις οἰκτρὲ Νέαρχε,
Ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

Τοῦ αὐτοῦ.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
Ἢ σύ τι ποιήσεις, σκορπίος ὢν, ἀγαθόν.
Οὔτε γὰρ αὐτὸς ἑκών τι ποιεῖς, οὔτ' ἄλλον ἀφίης,
Ὡς ἀστὴρ κρονικὸς πᾶσιν ἀπεχθόμενος.

Τοῦ αὐτοῦ.

Μητέρα τις, πατέρ' ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφὸν,
Πολλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ' Οἰδίποδος.

Τοῦ αὐτοῦ.

Ὀψέ ποθ' ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν
Ὃν ποδαγρᾶν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Μασαύρων ἀφελὼν δύο γράμματα Μάρκε τὰ πρῶτα,
Ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

Καλλίου Ἀργείου.

Αἰεὶ θηεῖον ἦσθα Πολύκριτε. νῦν δὲ πεπωκὼς,
Ἐξαπίνης ἐγένου λυσσομανές τι κακόν.
Αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
Τὸν τρόπον. οὐκ ἐγένου νῦν κακὸς, ἀλλ' ἐφάνης.

Ἀδέσποτον.

Δαμαγόραν, καὶ λοιμὸν, ἰσόψηφόν τις ἀκούσας,
Ἔστησ' ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος.
Εἰς τὸ μέρος δὲ καθείλκετ' ἀνελκυσθὲν τὸ τάλαντον
Δαμαγόρου· λοιμὸν δ' εὗρεν ἐλαφρότερον.

Ἀντιόχου.

Ψυχὴν μὲν γράψαι χαλεπὸν, μορφὴν δὲ χαράξαι
Ῥάδιον. ἀλλ' ἐπὶ σοὶ τοὔμπαλιν ἀμφότερα.
Τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα
Ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο.
Τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν
Πῶς ἄν τις γράψῃ, μήδ' ἐσιδεῖν ἐθέλων;

## ΕΙΣ ΠΟΡΔΗΝ.

Νικάρχου.

Πορδὴ ἀποκτείνει πολλοὺς ἀδιέξοδος οὖσα.
Πορδὴ καὶ σώζει τραυλὸν ἱεῖσα μέλος.
Οὐκοῦν εἰ σώζει, καὶ ἀποκτείνει πάλι Πορδὴ,
Τοῖς βασιλεῦσιν ἴσην Πορδὴ ἔχει δύναμιν.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΠΑΡΟΡΙΣΤΑΣ·

### Ἀμμιανοῦ.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παρορίζων,
Γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει.
Κείσῃ δ' Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδὲν,
Εἰς τὴν οὐκ ἔτι σὴν γῆν ἀναλυόμενος.

## ΕΙΣ ΡΗΤΟΡΑΣ.

### Λουκιλλίου.

Οὐ δέχεται Μάρκον τὸν Ῥήτορα νεκρὸν ὁ Πλούτων,
Εἰπὼν, ἀρκείτω Κέρβερος ὧδε κύων.
Εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι, καὶ Μελίτωνι
Τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτω.
Οὐδὲν γάρ σου χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἔλθῃ
Ὧδε σολοικίζῃ Ῥοῦφος ὁ γραμματικός.

### Κερεαλίου.

Οὐ τὸ λέγειν παράσημα, καὶ Ἀττικὰ ῥήματα πέντε,
Εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾷν.
Οὐδὲ γὰρ εἰ κάρκαιρε, καὶ εἰ κοναβεῖ, τό, τε σίζει,
Καὶ κελάρυζε λέγεις, εὐθὺς Ὅμηρος ἔσῃ.
Νοῦν ὑποκεῖσθαι δεῖ τοῖς πράγμασι, καὶ φράσιν αὐτῶν
Εἶναι κοινοτέραν, ὥς τε νοεῖν ἃ λέγεις.

### Ἄδηλον.

Εἰκὼν ἡ Σέξτου μελετᾷ, Σέξτος δὲ σιωπᾷ.
Ῥήτωρ ἦν εἰκὼν, ὁ δὲ Ῥήτωρ εἰκόνος εἰκών.

### Λουκιλλίου.

Μηδὲ λαλῶν πρώην ἐσολοίκισε Φλάκκος ὁ Ῥήτωρ.
Καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανοῶν.
 Κἀγὼ δ᾽ αὐτὸν ἰδὼν, τὸ στόμα μου δέδεται.

Ἀμμιανοῦ.

Θαυμάζειν μοι ἔπεισιν ὅπως Βύτος ἐστὶ σοφιστὴς,
 Μήτε λόγον κοινὸν, μήτε λογισμὸν ἔχων.

Τοῦ αὐτοῦ.

Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας
 Εὑρεῖν, ἢ δόκιμον ῥήτορα Καππαδόκην.

## ΣΥΜΠΟΤΙΚΑ ΑΣΤΕΙ᾽ΣΜΑΤΑ.

Ἀδέσποτον.

Ἤθελον ἂν πλουτεῖν, ὡς πλούσιος ἦν ποτε Κροῖσος,
 Καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης.
Ἀλλ᾽ ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγὸν,
 Καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
Ἀκτήνου πάσας, καὶ ταῖς κοτύλαις ὑποβρέξας,
 Τὴν Ἀσίην πωλῶ πρὸς μύρα, καὶ στεφάνους.

Λεωνίδου.

Μὴ πάλι μοι μετὰ δόρπον, ὅτ᾽ οὐκ ἔτι γαστέρα πείθω,
 Οὔθατα, καὶ χοίρων ἄρτι τίθει τεμάχη.
Οὐδὲ γὰρ ἐργοπόνοισι μετὰ στάχυν ὄμβρος ἄκαιρος
 Χρήσιμος, οὐ ναύταις ἐν λιμένι ζέφυρος.

Παλλαδᾶ.

Γηραλέον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
 Εἰς τὸ κάτοπτρον ὁρᾶν λείψανον ἡλικίας.
Ἀλλ᾽ ἐγὼ εἰ λευκὰς φορέω τρίχας, εἴτε μελαίνας,
 Οὐκ ἀλέγω, βιότου πρὸς τέλος ἐρχόμενος.
Εὐόδμοις δὲ μύροισι, καὶ εὐπετάλοις στεφάνοισι
 Τῷ βρομίῳ παύω φροντίδας ἀργαλέας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄδηλον.

Πῖνε, καὶ εὐφραίνε. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
 Οὐδεὶς γιγνώσκει. μὴ τρέχε, μὴ κοπία
Ὡς δύνασαι χάρισαι. μετάδος, φάγε, θνητὰ λογίζε.
 Τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
Πᾶς ὁ βίος τοιόσδε, ῥοπὴ μόνον ἂν προλάβῃς τις.
 Ἂν δὲ θάνῃς, ἑτέρου πάντα, σὺ δ' οὐδὲν ἔχεις.

Μακεδονίου Ὑπάτου.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίσατο δήϊος ἀνὴρ
 Ἰητρὸς, δεπάων νέκταρ ἀπειπάμενος.
Εἶπε δ' ὕδωρ πίνειν ἀνεμώλιος. οὐδ' ἐδιδάχθη
 Ὅτι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

Παλλαδᾶ.

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται. οὐδέ τις ἐστὶν
 Αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος.
Τοῦτο σαφῶς ἄνθρωπε μαθὼν, εὔφραινε σεαυτὸν,
 Λήθην τοῦ θανάτου τὸν βρόμιον κατέχων.
Τέρπεο, καὶ σκίρτα, τὸν ἐφημέριον βίον ἕλκων.
 Τἆλλα δὲ πάντα τύχῃ πράγματα δὸς διέπειν.

Ἄδηλον.

Οὐδὲν ἁμαρτήσας, γενόμην παρὰ τῶν με τεκόντων·
 Γεννηθεὶς δ' ὁ τάλας, ἔρχομαι εἰς ἀΐδην.
Ὢ μίξις γονέων θανατηφόρος. ὤμοι ἀνάγκης,
 Ἥ με προσπελάσει τῷ στυγερῷ θανάτῳ.
Οὐδὲν ἐὼν γενόμην. πάλιν ἔσσομαι ὡς πάρος οὐδέν.
 Οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
Λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον ἑταῖρε,
 Καὶ λύπης λήθην τὸν βρόμιον πάρεχε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀδήλου.

Ὠκύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων.
Εἰμὶ μέν, ἀλλ' οὔ μοι τοῦτο Σέλευκε μέλει.
Εἰς ἀΐδην πάντεσσι καταίβασις. εἰ δὲ τάχιον
Ἡμετέρη, Μίνω θᾶσσον ἐποψόμεθα.
Πίνωμεν. καὶ γὰρ δὴ ἐτήτυμον, εἰς ὁδὸν ἵππος
Οἶνος, ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς ἀΐδην.

## ΕΙΣ ΤΟΛΜΗΡΟΥΣ.

Παλλαδᾶ.

Μηδὲν ἄγαν, τῶν ἑπτὰ Σοφῶν ὁ σοφώτατος εἶπεν·
Ἀλλὰ σὺ μὴ πεισθεὶς Γέασιε, τοῦτ' ἔπαθες.
Καὶ λόγιός περ ἐών, ἀλογώτατον ἔχες ὄνειδος,
Ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
Οὕτω Πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
Βουληθέντα μαθεῖν ἀστροθέτους κανόνας.
Ἀλλ' ὁ μὲν, ἵππον ἔχων, καὶ θερσαλέον σθένος ἥβης,
Γέασιος οὐδὲ χέσειν εὔτονον ἦτορ ἔχων.

## ΕΙΣ ΥΒΡΙΣΤΑΣ.

Παλλαδᾶ.

Ὑβρίζεις; τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε.
Τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

Τοῦ αὐτοῦ.

Πολλὰ λαλεῖς ἄνθρωπε. χαμαὶ δὲ τίθῃ μετὰ μικρόν·
Σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

Τοῦ αὐτοῦ.

Ἥλιος ἀνθρώποις αὐγῆς Θεός. εἰ δὲ καὶ αὐτὸς
Ὑβρίζον φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

Τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
Πταῖσμα τόδ' ἐστὶ τύχης, οὐκ ἀδίκημα τρόπων.

Τοῦ αὐτοῦ.

Αἰνίζειν μὲν ἄριστον. ὁ δὲ ψόγος ἔχθεος ἀρχή.
Ἀλλὰ κακῶς εἰπεῖν, Ἀττικόν ἐστι μέλι.

## ΕΙΣ ΦΕΙΔΩΛΟΥΣ.

### Ἄδηλον.

Πλουτεῖν φασί σε πάντες. ἐγὼ δέ σε φημὶ πένεσθαι.
Χρῆσις γὰρ πλούτου μάρτυς, Ἀπολλόφανες.
Ἂν μετέχῃς αὐτῶν σὺ, σὰ γίγνεται. ἂν δὲ φυλάττῃς
Κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

Πολλιανοῦ.

Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις, μάθε. πάντα δανείζεις.
Οὕτως οὐδὲν ἔχεις αὐτὸς, ἵν' ἄλλος ἔχῃ.

Λουκιλλίου.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
Αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
Ψηφίζων δ' ἀνέκειτο πόσον δώσει διεγερθεὶς
Ἰητροῖς μισθοῦ, καὶ τί νοσῶν δαπανᾷ.
Ὡς δ' εὗρε πλείω δραχμὴν μίαν, ἢν διασωθῇ,
Λυσιτελεῖ θνήσκειν εἶπε, καὶ ἐξετάθη.
Κεῖτο δέ γ' οὐδὲν ἔχων ὀβολοῦ πλέον. οἱ δὲ τὰ κείνου
Χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

Τοῦ αὐτοῦ.

Γεννηθὲν τὸ τέκνον κατεπόντισεν Αὖλος ὁ κνιπὸς,
Ψηφίζων αὐτοῦ σωζομένου δαπάνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παλλαδᾶ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος.
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

Ἀμμιανοῦ.

Ὡς κῆπον τεθνηκὼς δεῖπνον παρέθηκεν Ἀπελλῆς,
Οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.
Ἦν ῥαφανίς, σέρις ἦν, τῆλυς, θρίδακες, πράσα, βολ
Ὤκυμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
Δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
Δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

Λουκιλλίου.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ἕρμων,
Ἐκ περιωδυνίας αὐτὸν ἀπηγχόνισεν.

Εἰς Εἰκόνα Ἀναστασίου Βασιλέως ἐν τῷ Εὐρίπῳ.

Εἰκόνα σοι, Βασιλεῦ κοσμοφθόρε, τήνδε σιδήρου
Ἄνθεσαν, ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην,
Ἀντὶ φόνου, πενίης τ' ὀλοῆς, λιμοῦ τε, καὶ ὀργῆς,
Οἷς πάντας φθείρεις ἐκ φιλοχρημοσύνης.

Λουκιλλίου.

Εἰ μὲν ζῇς ἐλάφου ταναὸν χρόνον, ἠὲ κορώνης,
Συγγνώμη πλεῖστον πλοῦτον ἀγειρομένῳ.
Εἰ δέ τις ἐσσὶ βροτῶν, οὓς αὐτίκα γῆρας ἰάπτει,
Μή σέ γ' ἀπειρεσίων οἶστρος ἕλῃ κτεάνων.
Μὴ σὺ μὲν ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσῃς,
Χρήσωνται δ' ἄλλοι σοῖς ἀγαθοῖς ἀνέδην.

Τοῦ αὐτοῦ.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
Καὶ τί ποιεῖς, φησίν, φίλτατε μῦ, παρ' ἐμοί;
Ἡδὺ δ' ὁ μῦς γελάσας, μηδὲν φίλε φησὶ φοβηθῇς.
Οὐχὶ τροφῆς παρὰ σοὶ χρήζομεν, ἀλλὰ μονῆς.

Ἀσκη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄδηλον.

Πολλὰς μυριάδας ψηφίζει Ἀρτεμίδωρος,
  Καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων·
Πολλάκις αἳ χρυσοῦ τιμαλφέα φόρτον ἔχουσαι
  Πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

## ΕΙΣ ΦΘΟΝΕΡΟΥΣ.

Λουκιλλίου.

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον ἑαυτοῦ
  Ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Τοῦ αὐτοῦ.

Εἶναι μὲν κυνικόν σε Μενέστρατε, κἀνυπόδητον,
  Καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου.
Ἂν δὲ περιαρπάζῃς ἄρτους, καὶ κλάσματ᾽ ἀναιδῶς,
  Κἀγὼ ῥάβδον ἔχω, καὶ σὲ λέγουσι κύνα.

Παλλαδᾶ εἰς Θεμίστιον τὸν Φιλόσοφον, γενόμενον Ἔπαρχον Κωνσταντινουπόλεως, ἐπὶ Οὐαλεντινιανοῦ, καὶ Οὐάλεντος.

Ἄντυγος οὐρανίης ὑπερήμενος, ἐς πόθον ἦλθες
  Ἄντυγος ἀργυρέης, αἶσχος ἀπειρέσιον.
Ἦσθα ποτὲ κρείσσων. αὖθις δ᾽ ἐγένου πολὺ χείρων.
  Δεῦρ᾽ ἀνάβηθι κάτω. νῦν γὰρ ἄνω κατέβης.

Τοῦ αὐτοῦ.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
  Καὶ τράγος εὐπώγων, εὔστολός ἐστι Πλάτων.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Εἰ μοναχοί, τί τοσοίδε; πόσοι δέ τε, πῶς πάλι μοῦνοι;
Ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

Τοῦ αὐτοῦ.

Τοῦ πωγωνοφόρου κυνικοῦ τοῦ βακτροπροσαίτου,
Εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
Θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο, καὶ ῥαφανίδων,
Μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
Εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
Στρυφνήν, ὃ πινυτὸν ἤδη ἔκλεπτε νόον.
Ἤτησεν παρὰ προσδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς.
Κοὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

## ΕΙΣ ΧΩΛΟΥΣ.

Παλλαδᾶ.

Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα. καὶ γὰρ ἀληθῶς
Εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκτὸς ἔχει.

Ἄδηλον.

Λυσιμελοῦς Βάκχου, καὶ λυσιμελοῦς Ἀφροδίτης,
Γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

ΕΛΛΑΔΟΣ

ΕΠΙ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΚΛΕΚΤΑ ΕΚ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ

## ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ.

### Εἰς Πλάτωνα.

ΣΩφροσύνῃ προφέρων θνητῶν, ἤθει τε δικαίῳ,
Ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.
Εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
Οὗτος ἔχει πλεῖστον, καὶ φθόνον οὐ φέρεται.

### Ἰουλιανοῦ Αἰγυπτίου.

Κλεινὸς Ἰωάννης. θνητὸς λέγε. γαμβρὸς ἀνάσσης.
Θνητὸς ὅμως. γενεῆς ἄνθος Ἀναστασίου.
Θνητοῦ κἀκεῖνου. βίον ἔνδικος. οὐκ ἔτι τοῦτο
Θνητὸν ἔφης. ἀρεταὶ κρείσσονες εἰσὶ μόρου.

### Ἀδέσποτον.

Μὴ σύγε θνητὸς ἐὼν, ὡς ἀθάνατός τι λογίζου.
Οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
Εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἤδε θανόντα,
Ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

Καλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καλλιμάχου.

Τῇ δε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

Σωφρονίου Πατριάρχου Ἱεροσολύμων εἰς τὸν τάφον Ἰωάννου Πάπα Ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν ἦν, καὶ τί, παῖς τίνος, ἔργα, καὶ ὄλβον
Νεκρὸς, ὃν ἔνδον ἔχεις, ἔννεπε κευθόμενον.
Οὗτος Ἰωάννης, Κύπριος γένος, υἱὸς ἐτύχθη
Εὐγενέος Στεφάνου, ἦν δὲ νομεὺς Φαρίης.
Κτήματα μὲν πολύολβος ὅλων πλέον, ὧν τρέφε Κύπρος,
Ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων.
Ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν
Οὐδ' ἐμοῦ ἐστι νόου, οὐδ' ἑτέρων στομάτων.
Πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάταις ἀρετῇσι,
Δόξαντα κρατέειν ταῖς ἀρεταῖς ἑτέρων.
Τοῦ καὶ κάλλεα πάντα, τάπερ πόλις ἔλλαχεν αὕτη,
Εἰσὶ φιλοφροσύνης κόσμος ἀρειότατος.

Ἄδηλον.

Τοῦτό τι ἡμετέρης μνημήϊον ἐσθλὲ Σαβῖνε,
Ἁ λίθος ἁ μικρὰ, τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε. σὺ δ' εἰ θέμις ἐν φθιμένοισι,
Τοῦ λήθης ἐπ' ἐμοὶ μήτι πίῃς πόματος.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ

Σιμωνίδȣ.

Εἰπὼν τίς τίνος ἐσσὶ, τίνος πατρίδος, τί δὲ νικῆς;
Κάσμυλος, Εὐαγόρȣ, πύθια, πὺξ, Ῥόδιος.

Καλλιμάχȣ.

Σύντομος ἦν ὁ ξεῖνος, ὁ καὶ τάφος. ȣ̓ μακρὰ λέξω.
Θῆρις, Ἀρισαίȣ, Κρὴς, ἐπ' ἐμοὶ δολιχόν.

## ΕΙΣ ΑΔΕΛΦΟΥΣ.

Ἀγαθίȣ Σχολαστικȣ̃.

Εἷς δύ' ἀδελφȣ̀ς ἐπέχει τάφος. ἐν γὰρ ἐπέχον
Ἦμαρ καὶ γενεῆς οἱ δύο καὶ θανάτȣ.

## ΕΙΣ ΑΛΙΕΑΣ.

Σαπφȣ̃ς.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος,
Κύρτον, καὶ κώπαν μνᾶμα κακοζωΐας.

## ΕΙΣ ΑΝΔΡΕΙΟΥΣ.

Ἀνακρέοντος.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, ȣ̃ τόδε σῆμα.
Ἄρης δ' ȣ̓κ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

Ἀντιπάτρȣ.

Ὄρνι Διὸς κρονίδαο σκάπτορε, πȣ̃ χάριν ἕστας
Γοργὸς ὑπὲρ μεγάλȣ τύμβον Ἀρισομένȣς;

Ἀγ-

Ἀγγέλλω μερόπεσσιν, ὅθ' οὕνεκεν ὅσσον ἄριστος
Οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠϊθέων.
Δειλαῖοι δειλοῖσιν ἐφεδρήσουσι πέλειαι.
Ἄμμες δ' ἀξίοις ἀνδράσι τερπόμεθα.

Ἀλφειοῦ Μιτυληναίου εἰς Θεμιστοκλέα.

Οὔρεά μοι, καὶ πόντον ὕπερ τύμβοιο χάρασσε,
Καὶ μέσον ἀμφοτέρων μάρτυρα Λητῴδην,
Ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν ἄρη.
Ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
Κηρύσσῃ Μάγνης δῆμος ἀποφθιμένου.

Διοσκουρίδου.

Τὰ πιτανᾷ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,
Ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
Δεικνὺς πρόσθια πάντα, τὸν αἱματόεντα δ' ὁ πρέσβυς
Παῖδ' ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τιθείς·
Δειλοὶ κλαιέσθωσαν. ἐγὼ δὲ σε τέκνον ἄδακρυς
Θάψω, τὸν καὶ ἐμὸν, καὶ Λακεδαιμόνιον.

Φιλίππου.

Αἶλιος ὁ θρασύχειρ, Ἀργοῦς πρόμος, ὀψὲ διώσας εἰπὼν
Αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
Τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
Ἐς προτέρων ἔργων ἄρσενα μαρτυρίην.
Ὤσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπών.
Ἄνδρας ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.

Γετουλίκου.

Ὦ χρόνε, παντοίων θνητῶν παντεπίσκοπε δαῖμον,
Ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων.
Ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τοὺς αὐτούς.

Ἀκμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν,
  Ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

Εἰς τοὺς αὐτούς.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
  Ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι,
  Κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

Διοσκουρίδου.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
  Παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ.
Δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπε
  Μοῦνον, ἰὼ Σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.

Σιμωνίδου.

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
  Φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς,
Ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμὸν ὡς ὄνομ' εἶχεν,
  Οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

Γαίτου.

Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
  Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι,
Αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρῶτον
  Ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
Ἄρσενι δ' Ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
  Καρύσσει, Θυρέα (Ζεῦ) Λακεδαιμονίων.
Εἰ δέ τις Ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' Ἀδράστου,
  Σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

Ἀδήλου.

Οὔνομά μοι. τί δὲ τοῦτο; πατρὶς δέ μοι. ἐς τί δὲ τοῦτο;
  Κλεινοῦ δ' εἰμὶ γένους. εἰ γὰρ ἀφαυροτάτου;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ζήσας ἐνδόξως ἔλιπον βίον. εἰ γὰρ ἀδόξως;
Κεῖμαι δ' ἐνθάδε νῦν. τίς, τίνι ταῦτα λέγεις;

Α'δηλον.

Θάψεν ἄμε κτείνας κρυπτὸν φόνον. εἰ δέ με τύμβῳ
Δωρεῖται, ποίης ἀντιτύχοι χάριτος.

Α'δηλον.

Ζωὴν συλήσας, δωρῇ τάφον. ἀλλά με κρύπτεις,
Οὐ θάπτεις. ποίου κ᾽αὐτὸς ὄναιο τάφου.

Σιμωνίδου.

Οἱ μὲν ἐμὲ κτείναντες, ὁμοίων ἀντιτύχοιεν
Ζεῦ ξένι'. οἱ δ' ὑπὸ γᾶν θέντες, ὄναιντο βίου.

Λεωνίδου.

Τίς δαίμων ἀργεῖος ἐπ' ἠερίῳ; ἦ ῥα συνώνυμος
Ε'στὶ Δικαιοτέλης; ἐστὶ Δικαιοτέλης.
Η'χὼ τοῦτ' ἐλάλησε παυσάτων. ἦ τόδ' ἀληθὲς
Κεῖνος ὅδ' ἐστὶν ἀνήρ; κεῖνος ὅδ' ἐστὶν ἀνήρ.

Α'δέσποτον· οἱ δὲ, Νέρωνος.

Ε'μοῦ θανόντος, γαῖα μιχθήτω πυρί.
Οὐδὲν μέλει μοι. τἀμὰ γὰρ καλῶς ἔχει.

Διοδώρου.

Βάκχῳ, καὶ Μούσῃσι μεμηλότα τὸν Διοπείθους
Κεκροπίδην ὑπ' ἐμοὶ ξεῖνε Μένανδρον ἔχω,
Ε'ν πυρὶ τὴν ὀλίγην ὃς ἔχει κόνιν. εἰ δὲ Μένανδρον
Δίζηαι, δήεις ἐν Διὸς, ἢ μακάρων.

## ΕΙΣ ΑΡΧΑΙΟΥΣ ΤΙΝΑΣ.

### Εἰς Σαρδανάπαλον.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι. θανόντι σοι, οὔτις ὄνησις.

Κα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνυ μεγάλης βασιλεύσας.
Τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἐδάην. τὰ δὲ πολλὰ, καὶ ὄλβια κεῖνα λέλειπται.
Ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν.

Ἀγαθίυ, εἰς Νιόβην.

Ὁ τύμβος ὗτος, ἔνδον ὐκ ἔχει νεκρόν·
Ὁ νεκρὸς ὗτος, ἐκτὸς ὐκ ἔχει τάφον.
Ἀλλ' αὐτὸς αὐτῦ νεκρός ἐστι, καὶ τάφος.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα, κεῖμαι.
Οὔνομα δ' ὐ πεύσεσθε. κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Λεωνίδυ, εἰς τὸν αὐτόν.

Τὴν ἐπ' ἐμεῦ στήλην παραμείβεο, μήτ' ἐμὲ χαίρειν
Εἰπὼν, μήθ' ὅστις, μὴ τίνος ἐξετάσας.
Ἢ μὴ τὴν ἀνύεις, τελέσαις ὁδόν· ἢν δὲ παρέλθῃς
Σιγῇ, μήδ' ὕτως ἣν ἀνύεις τελέσαις.

Εἰς τὸν αὐτόν. Ἄδηλον.

Μὴ χαίρειν εἴπῃς με, κακὸν κάρα, ἀλλὰ πάρελθε.
Ἴσον ἐμοὶ χαίρειν ἐστὶ, τὸ μή σε γελᾷν.

Εἰς τὸν αὐτόν. Ἄδηλον.

Καὶ νέκυς ὢν Τίμων ἄγριος. σὺ δὲ δεινὲ πυλωρὲ
Πλύτωνος τάρβει Κέρβερε, μή σε δάκῃ.

Θεοδώρυ τῦ Ἄνθυ, εἰς Μῖμον.

Νηλειὴς ἀΐδης, ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

## ΕΙΣ ΑΘΛΗΤΑΣ.

Ἄδηλον.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγυ σοφίῃ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τεκτοσιώυη δ' ἐπέων, πολυΐςωρ θεῖος Ὅμηρος.
  Τηλεφάνης, δ' αὐλοῖς, ȣ̃ τάφος ἐςὶν ὅδε.

Ἀδέσποτον.

Ἑλλὰς μὲν Θήβας προτέρας πρȣ̈κεινεν ἐν αὐλοῖς.
  Θῆβαι δὲ Πρόνομον, παῖδα τὸν Οἰνιάδȣ·

## ΕΙΣ ΒΡΕΦΗ.

Λȣκιανȣ̃.

Παῖδά με πενταέτηρον ἀκηδέα θυμὸν ἔχοντα,
  Νηλειὴς αΐδης ἥρπασε Καλλίμαχον.
Ἀλλά με μὴ κλαίοις. καὶ γὰρ βιότοιο μετέσχον
  Παύρȣ, καὶ παύρων τῶν βιότοιο κακῶν.

## ΕΙΣ ΓΕΡΟΝΤΑΣ.

Ἐπὶ τοῦ ἑαυτὸν θάψαντι πρὸ τελευτῆς. Ἀδέσποτον.

Γήραϊ, καὶ πενίῃ τετρυμμένος, ȣ̓δ' ὀρέγοντος
  Οὐδενὸς ἀνθρώπων δυςυχίης ἔρανον,
Τοῖς τρομεροῖς κώλοισιν ὑπήλυθον ἠρέμα τύμβον.
  Εὗρον οϊζυρȣ̃ τέρμα μόλις βιότȣ.
Ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος. ȣ̓ γὰρ ἔθνησκον
  Πρῶτον, ἔπειτ' ἐτάφην, ἀλλὰ ταφεὶς, ἔθανον.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Λεωνίδȣ.

Τίς, τίνος εὖσα γυναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
  Πρηξὼ, Καλλιτέλȣς. Καὶ ποδαπή; Σαμίη.
Τίς δέ σε καὶ κτερέϊξε; Θεόκριτος, ᾧ με γονῆες
  Ἐξέδοσαν. Θνήσκεις δ' ἐκ τίνος; Ἐκ τοκετȣ̃.
Εὖσα πόσων ἐτέων; Δύω, κ' εἴκοσιν. Ἦ ῥάγ᾽ ἄτεκνος;
  Οὐκ· ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
Ζώη σοι κεῖνός γε, καὶ ἐς βαθὺ γῆρας ἵκοιτο.
  Καὶ σοὶ ξεῖνε πόροι πάντα τύχη τὰ καλά.

Φι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

### Φιλίππου.

Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος ἡδὺς ἐπήχει
Λωτὸς, καὶ γαμικοῖς ὕμνος ἔχαιρε κρότοις.
Θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν. ἡ δὲ τάλαινα,
Οὔπω πάντα γυνὴ, καὶ νέκυς ἐβλέπετο.
Δακρυόεις ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
Αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσιν;

### Πομπηΐου νεωτέρου εἰς Λαΐδα.

Ἡ τὸ καλὸν καὶ πᾶσιν ἐράσιμον ἀνθήσασα,
Ἡ μούνη χαρίτων λείρια δρεψαμένη,
Οὐκ ἔτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον,
Κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθεύντων
Κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

### Ἀδέσποτον.

Εἴκοσι Καλλικράτεια, καὶ ἐννέα τέκνα τεκοῦσα,
Οὐδενὸς οὐδεμιῆς ἐδρακόμην θάνατον.
Ἀλλ' ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτοὺς,
Σκήπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.

### Ἀγαθίου εἰς τὴν ἀδελφὴν αὐτοῦ Εὐγενίαν.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ, καὶ ἀοιδᾷ,
Τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονίη κόνις, ἇς ἐπὶ τύμβῳ
Κείραντο πλοκάμους, Μοῦσα, Θέμις, Παφίη.

### Ἰουλιανοῦ Αἰγυπτίου.

Οὔνομα μὲν, Καλὴ, φρεσὶ δὲ πλέον, ἠὲ προσώπῳ
Κάτθανε. φεῦ, χαρίτων ἐξαπόλωλεν ἔαρ.
Καὶ γὰρ ἔην Παφίῃ πανομοίιος. ἀλλὰ συνεύνῳ
Μούνῳ, τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
Τίς λίθος οὐκ ἐγόησεν, ὅτ' ἐξήρπασεν ἐκείνην
Εὐρυβίης ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐτολμίου.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη,
Κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν.
Οὐδ' ἔσχε παλίνορσον ἀναπνεύσασα γοῆσαι,
Ἀλλ' ἅμα καὶ θρήνου παύσατο, καὶ βιότου.

Ἄδηλον.

Τίπτε μάτην γοόωντες, ἐμῷ παραμίμνετε τύμβῳ;
Οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
Λῆγε γόων, καὶ παῦε πόσις. καὶ παῖδες ἐμεῖο
Χαίρετε, καὶ μνήμην σώζετ' Ἀμαζονίης.

# ΕΙΣ ΔΟΥΛΟΥΣ.

Διοσκορίδου.

Δοῦλος ἐγὼ, καὶ δοῦλος. ἐλευθερίῳ δέ με τύμβῳ
Δέσποτα Τιμάνθη, τὸν σὸν ἔθου τροφέα.
Εὐαίων', ἀσινῆ τείνοις βίον. ἢν δ' ὑπὸ γήραος
Πρός με μόλῃς, σὸς ἐγὼ δέσποτα, κἠν ἀΐδῃ.

Ἄδηλον.

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτε. νῦν δὲ τεθνηκὼς,
Ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

# ΕΙΣ ΗΡΩΑΣ.

Εἰς Αἴαντα. Ἀσκληπιάδου.

Ἅδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
Θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' Ἀχαιοῖς
Ἁ δολόφρων ἀπάτα κρεῖσσον ἐμοῦ κέκριται.

Εἰς τὸ αὐτό. Ἀδέσποτον.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε μοῖρα,
Αὐτοῦ χρησαμένη καὶ χερὶ, καὶ ξίφει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο κὴ μεμαῦα
  Εὑρέμϑναι Κλωθὼ τῷ δ' ἕτερον φονέα.

Εἰς τὸ αὐτό.

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν, Ἕκτορι δ' Αἴας
  Ζωςῆρ'. ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

Ἀδέσποτον, εἰς Ἕκτορα.

Μήμε τάφῳ σύγκρινε τὸν Ἕκτορα, μήδ' ἐπὶ τύμβῳ
  Μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.
Ἰλιὰς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλὰς, Ἀχαιοὶ
  Φεύγοντες. τούτοις πᾶσιν ἐχωννύμεθα.
Εἰ δ' ὀλίγλω ἀθρεῖς ἐπ' ἐμοὶ κόνιν, οὐκ ἐμὸν αἶσχος,
  Ἑλλήνων ἐχθραῖς χερσὶν ἐχωννύμεθα.

Ἀρχίου, εἰς τὸν αὐτόν.

Καὶ θνέται τοῦ νέρθε, κὴ οὔνομα, κὴ χθόνα φώνει
  Στήλη, κὴ ποίᾳ κηρὶ δαμεὶς ἔθανεν.
Γεννήτωρ, Πρίαμος. γᾶ δ', Ἴλιον. οὔνομα δ', Ἕκτωρ.
  Ὦ ξεῖν'. ὑπὲρ πάτρας δ' ὤλετο μαρνάμϑνος.

Τοῦ αὐτοῦ, εἰς Ἀλέξανδρον τὸν Μακεδόνα.

Ἕκτορι μϑὺ Τροίη συγκάτθανεν, οὐδ' ἔτι χεῖρας
  Ἀντῆρεν Δαναῶν παισὶν ἐπερχομϑύοις.
Πέλλα δ' Ἀλεξάνδρῳ συνυαπώλετο. πατρίδες ἄρα
  Ἀνδράσιν, οὐ πάτραις ἄνδρες ἀγαλλόμεθα.

Παρμϑνίωνος, εἰς τὸν αὐτόν.

Φθίσθαι Ἀλέξανδρον, ψευδὴς φάτις, εἴπερ ἀληθὴς
  Φοῖβος. ἀνικήτων ἅπτεται οὐδ' αἴδης.

## ΕΙΣ ΙΑΤΡΟΥΣ.

Ἄδηλον.

Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται,
  Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαὼς,
Πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις ὑγιείης,
  Δόξαν ἑλὼν πολλὴν οὐ τύχῃ, ἀλλὰ τέχνῃ.

## ΕΙΣ ΙΞΕΥΤΑΣ.

Ἰσιδώρου.

Ἰξῷ, καὶ καλάμοισιν ἀπ᾽ ἠέρος αὐτὸν ἐφορβεῖ
  Εὔμηλος λιτῶς, ἀλλ᾽ ἐν ἐλευθερίῃ.
Οὔποτε δ᾽ ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι.
  Τοῦτο τρυφὴν κείνῳ, τοῦτ᾽ ἔφερ᾽ εὐφροσύνην.
Τρὶς δὲ τριηκοσὸν ζήσας ἔτος, ἐνθάδ᾽ ἰαύει,
  Παισὶ λιπὼν ἰξὸν, καὶ πτερὰ, καὶ καλάμους.

## ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ.

Ἀγαθίου Σχολαστικοῦ.

Φεῦ, φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν
  Ῥώμης καὶ Φαρίης, ἥδε κέκευθε κόνις.
Ὤλετο φορμίγγων τερετίσματα. λῆξαν ἀοιδαὶ,
  Ὥσπερ Ἰωάννῃ πάντα συνολλύμενα.
Καί τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι
  Τύμβον Ἰωάννας αὖθ᾽ Ἑλικῶνος ἔχειν.

## ΕΙΣ ΜΕΘΥΣΟΥΣ.

Ἀντιπάτρου Σιδωνίου.

Τῆς πολιῆς τόδε σῆμα Μαρωνίδος, ἧς ἐπὶ τύμβῳ
  Γλυπτὴν ἐκ πέτρης αὐτὸς ὁρῇς κύλικα.
Ἡ δὲ φιλάκρητος, καὶ ἀεὶ λάλος, οὐκ ἐπὶ τέκνοις
  Μύρεται, οὐ τεκέων ἀκτεάνῳ πατέρι.
Ἓν δὲ τόδ᾽ αἰάζει καὶ ὑπ᾽ ἠρίον, ὅττι τὸ Βάκχῳ
  Ἄρμενον, οὐ Βάκχου πλῆρες ἔπεστι τάφῳ.

## ΕΙΣ ΝΑΥΑΓΗΣΑΝΤΑΣ.

Πλάτωνος.

Ναυηγοῦ τάφος εἰμὶ, ὁ δ᾽ ἀντίον, ἐστὶ γεωργοῦ.
  Ὡς ἁλὶ, καὶ γαίῃ ξυνὸς ὕπεστ᾽ ἀΐδης.

Λεων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λεωνίδου.

Ναυηγοῦ τάφος εἰμὶ Διοκλέος. οἱ δ' ἀνάγονται,
Φεῦ τόλμης, ἀπ' ἐμοῦ πείσματα λυσάμενοι.

Πλάτωνος.

Πλωτῆρες, σώζοισθε καὶ εἰν ἁλὶ, καὶ κατὰ γαῖαν.
Ἴστε δὲ ναυηγοῦ σῆμα παρερχόμενοι.

Σπατυλλίου.

Γριπέα τὸν πρέσβυν, τὸν ἁλίζωον ἀπὸ κύμβης
Ζῶντα, τὸν ἀγκύστροις καὶ μογέοντα λίνοις,
Ἐκ δεινοῦ ῥηχεῖα νότου κατέδυσε θάλαττα.
Ἔβρασε δ' εἰς κροκάλην πρώϊον ἠϊόνα,
Χεῖρας ἀποβρωθέντα. τίς οὐ νόον ἰχθύσιν εἴποι
Ἔμμεναι, οἳ μούνας αἷς ὀλέκοντο, φάγον;

Ἰουλιανοῦ.

Οὔτι σε πόντος ὄλεσσε, καὶ οὐ πνείοντες ἀῆται,
Ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
Εἴη μοι γαίης ὀλίγος βίος. ἐκ δὲ θαλάττης,
Ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

Φακέλλου.

Φεῦγε θαλάττια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλῃ,
Εἴτι τοι ἡδὺ μακρῆς πείρατ' ἰδεῖν βιοτῆς.
Ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος. εἰν ἁλὶ δ' οὔπως
Εὐμαρὲς εἰς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

Λεωνίδου.

Οὐδ' εἴ μοι γελόωσα καταστορέσειε γαλήνη
Κύματα, καὶ μαλακὴν φρῖκα φέροι ζέφυρος,
Νηοβάτην ὄψεσθε. δέδοικα γὰρ ὡς πάρος ἔτλην
Κινδύνους, ἀνέμοις ἀντικορυσσόμενος.

Ἀντιπάτρου.

Ναυαγοῦ τάφος εἰμί· σὺ δὲ πλέε. καὶ γὰρ ὅθ' ἡμεῖς
Ὠλλύμεθ', αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΝΕΟΥΣ, ΚΑΙ ΝΕΑΣ.

Παύλου Σιλεντιαρίου.

Ὥριος εἶχέ σε παστάς, ἄωρος εἷλέ σε τύμβος,
   Εὐθαλέων χαρίτων ἄνθος Ἀναστασίη.
Σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
   Σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
Οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
   Ἀλλ' ἑκκαιδεκέτιν (φεῦ) κατέχει σε τάφος.

Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων Αἰγυπτίου.

Ἄγριός ἐστι Χάρων; πλέον ἤπιος. ἥρπασεν ἤδη
   Τὸν νέον; ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον,
Τερπωλῆς ἀπέπαυσεν; ἀπεσυφέλιξε δὲ μόχθων.
   Οὐκ ἐνόησε γάμους; οὐδὲ γάμων ὀδύνας.

Παύλου Σιλεντιαρίου.

Εἰ καὶ ἐπὶ ξείνοις σε Λεόντιε γαῖα καλύπτει,
   Εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
Πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
   Δάκρυα, δυσλήτῳ πένθεϊ δαπτομένων.
Πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
   Ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
Αἲ, αἲ, λοιγαλέη, καὶ ἀμείλιχος ἔπλετο μοῖρα,
   Μὴ δὲ τεῆς ἥβης δύσμορε φεισαμένη.

## ΕΙΣ ΟΡΝΙΘΑΣ.

Φιλίππου.

Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,
   Ἦλυθεν εἰς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.
Αἰεὶ δ' ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινὸν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐδ' ἂν ὄρη λήθην ἤγαγον οὐνόματος.
Ἔδραμε δ' ὠκυδίδακτος ἅπας οἰωνὸς ἐρίζων,
Τίς φθῆναι δύναται δαίμονι χαῖρ' ἐνέπειν.
Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν. ἐς δὲ σὲ Καῖσαρ,
Νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

Εἰς τέττιγα, Μελεάγρου.

Ἀχήεις τέττιξ δροσεραῖς σταγόνεσσι μεθυσθεὶς,
Ἀγροϊόμον μέλπεις μοῦσαν ἐρημολάλον.
Ἄκρα δ' ἐφεζόμενος πετάλοις πριονώδεσι κώλοις
Αἰθίοπι κλάζεις χρωτὶ μέλισμα λύρας.
Ἀλλὰ φίλος, φθέγγου τι νέον, δενδρώδεσι νύμφαις
Παίγνιον, ἀντῳδὸν Πανὶ κρέκων κέλαδον.
Ὄφρα φυγὼν τὸν ἔρωτα, μεσημβρινὸν ὕπνον ἀγρεύσω
Ἐνθάδ' ὑπὸ σκιερῇ κεκλιμένος πλατάνῳ.

Τοῦ αὐτοῦ, εἰς Ἀκρίδα.

Ἀκρὶς ἐμῶν ἀπάτημα πόθων, παραμύθιον ὕπνου.
Ἀκρὶς ἀρουραίη, μοῦσα λιγυπτέρυγε.
Αὐτοφυὲς μίμημα λύρας, κρέκε μοί τι ποθεινὸν,
Ἐγκρούουσα φίλας ποσσὶ λάλους πτέρυγας.
Ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης,
Ἀκρὶ, μιτωσαμένη φθόγγον ἐρωτοπλάνον.
Δῶρα δέ σοι, γήτειον ἀειθαλὲς ὀρθρινὰ δώσω,
Καὶ δροσερὰς στόμασι σχιζομένας ψεκάδας.

## ΕΙΣ ΠΟΙΗΤΑΣ.

Ἀντιπάτρου, εἰς Ὅμηρον.

Ἡρώων κήρυκ' ἀρετᾶς, μακάρων δὲ προφήταν,
Ἑλλάνων βιοτᾷ δεύτερον ἀέλιον,
Μουσῶν φέγγος Ὅμηρον, ἀγήρατον στόμα κόσμου
Παντὸς, ἁλιρρόθια ξεῖνε κέκευθε κόνις.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὸν αὐτόν.

Ἐνθάδε θεῖος Ὅμηρος, ὃς Ἑλλάδα πᾶσαν ἄεισε,
Θήβας ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

Τοῦ αὐτοῦ εἰς Ἡσίοδον.

Ἑλλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς
Ἀσκραῖον γενεὴν Ἡσίοδον κατέχω.

Ἴωνος εἰς Εὐριπίδην.

Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
Γῆ Μακεδών. ᾗ γὰρ δέξατο τέρμα βίου.
Πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι. πλεῖστα δὲ μούσας
Τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Οὐ σὸν μνῆμα τόδ' ἐστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε.
Τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

Σιμωνίδου εἰς Σοφοκλέα.

Ἐσβέσθης γηραιὲ Σοφόκλεες, ἄνθος ἀοιδῶν,
Οἰνωπὸν Βάκχου βότρυν ἐρεπτόμενος.

Ἀντιπάτρου εἰς Ἀνακρέοντα.

Ὦ ξένε, τόνδε τάφον τὸν Ἀνακρείοντος ἀμείβων,
Σπεῖσόν μοι παριών. εἰμὶ γὰρ οἰνοπότης.

Πινυτοῦ εἰς Σαπφώ.

Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς.
Αἱ δὲ σοφαὶ κείνης ῥήσιες, ἀθάνατοι.

Παύλου Σιλεντιαρίου.

Δαμόχαρις μοίρης πυμάτην ὑφεδύσατο σιγήν.
Φεῦ, τὸ καλὸν Μούσης βάρβιτον ἠρεμέει.
Ὤλετο Γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη Κῶς,
Καὶ πάλι πένθος ἔχεις, οἷον ἐφ' Ἱπποκράτει.

Ἀντιπάτρου εἰς Σαπφώ.

Οὔνομά μου Σαπφώ. τόσον δ' ὑπερέσχον ἀοιδῶν
Θηλειῶν, ἀνδρῶν ὅσσον ὁ Μαιονίδης.

ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΡΗΤΟΡΑΣ.

Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων Αἰγυπτίου.

Ἡ φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ᾽ ἔτικτεν
 Ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
Τὸν Κρατερὸν σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
 Κινύσαντα γόῳ δάκρυον ἀντιπάλοις.
Εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα μοίρης
 Μέμφεο, βουλομένους Κόσμον ἄκοσμον ἔχειν.

## ΕΙΣ ΥΙΟΥΣ, ΚΑΙ ΘΥΓΑΤΕΡΑΣ.

Ἀδέσποτον.

Υἱῖ πατὴρ τόδε σῆμα. τὸ δ᾽ ἔμπαλιν ἦν τὸ δίκαιον.
 Ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

Φιλίππου.

Λατύπος Ἀρχιτέλης Ἀγαθαινόρι παιδὶ θανόντι
 Χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον.
Αἶ, αἶ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
 Ἀλλ᾽ ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
Φεῦ· στήλη, φθιμένῳ κούφη μένε, κεῖνος ἵν᾽ εἴπῃ,
 Οὕνπως παιδῴη χεὶρ ἐπέθηκε λίθον.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Ἀντιπάτρου εἰς Πλάτωνα.

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος.
 Ψυχὴ δ᾽ ἀθανάτων τάξιν ἔχει μακάρων,
Υἱοῦ Ἀρίστωνος. τόν, τις καὶ τηλόθι ναίων
 Τιμᾷ ἀνὴρ ἀγαθὸς, θεῖον ἰδόντα βίον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τȣ̃ αὐτȣ̃ εἰς τὸν αὐτόν.

Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος εἰπὲ,
Ἀςερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς ὄλυμπον
Εἰκών. σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

Διογένους Λαερτίου, εἰς τὸν αὐτόν.

Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
Ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
Καὶ γὰρ ὁ τȣ̃δε γεγὼς Ἀσκληπιός ἐςιν ἰητὴρ
Σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

Εἰς Διογένην τὸν Κύνα.

Τὸν Κύνα Διογένην νεκυοςόλε δέξο με πορθμεῦ,
Γυμνώσαντα βίȣ παντὸς ἐπισκύνιον.

Εἰς τὸν αὐτόν.

Εἰπὲ κύων, τίνος ἀνδρὸς ἐφεςὼς σῆμα φυλάσσεις;
Τȣ̃ Κυνός. Ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
Διογένης. Γένος εἰπέ; Σινωπεύς. Ὃς πίθον ᾤκει;
Καὶ μάλα. νῦν δὲ θανὼν, ἀςέρας οἶκον ἔχει.

Ἀντιπάτρȣ, εἰς τὸν αὐτόν.

Διογένȣς τόδε σῆμα σοφȣ̃ Κυνός. ὅς ποτε θυμῷ
Ἄρσενι, γυμνήτην ἐξεπόνει βίοτον.
Ὧ μία τις πήρα, μία διπλαΐς, εἷς ἅμ' ἐφοίτα
Σκίπων, αὐτάρκȣς ὅπλα σαοφροσύνης.
Ἀλλὰ τάφȣ τȣ̃δ' ἐκτὸς ἴτ' ἄφρονες, ὡς ὁ Σινωπεὺς
Ἐχθαίρει φαῦλον πάντα καὶ εἰν ἀΐδῃ.

Εἰς Θαλῆν.

Ἦ ῥ' ὀλίγον τὸ σῆμα. τὸ δὲ κλέος ȣ̓ρανόμηκες
Τȣ̃ πολυφροντίςȣ τȣ̃δε Θάλητος ὅρη.

Εἰς τὸν αὐτόν.

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον Ἠλεῖε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ ςαδίȣ.

Αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αἰνέω, ὅττι μὲν ἐγγὺς ἀπήγαγες. ἦ γὰρ ὁ πρέσβυς,
Οὐκ ἔθ' ὁρᾷν ἀπὸ γῆς ἀστέρας ἠδυνάτο.

Διογένες Λαερτίε, εἰς Πυθαγόραν.

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ κ) ἡμεῖς.
Τίς γὰρ, ὃς ἐμψύχων ἥψατο Πυθαγόρη;
Α'λλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ, καὶ ἁλισθῇ,
Δὴ τότε καὶ ψυχὴν μὴ ἔχον, ἐσθίομεν.

Εἰς Ἐπίχαρμον.

Εἴτι παραλλάσσει φαέθων μέγας ἥλιος ἄστρων,
Καὶ πόντος ποταμῶν μείζον' ἔχει δυνάμιν.
Φημὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
Ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρακοσίων.

Εἰς Ζήνωνα τὸν Ἐλεάτην.

Ἤθελες ὦ Ζήνων καλὸν, ἤθελες ἄνδρα τύραννον
Κτείνας, ἐκλῦσαι δουλοσυνης Ἐλέαν.
Α'λλ' ἐδάμης. δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
Κόψε. τί τοῦτο λέγω; σῶμα γὰρ, οὐχὶ δέσε.

Εἰς Κράτητα, ὁμοιόπτωτον τῷ εἰς Σαρδανάπαλον.

Τόσσ' ἔχω, ὅσσ' ἔμαθον, καὶ ἐφρόντισα, κ) μετὰ μουσῶν
Σέμν' ἐδάην. τὰ δὲ πολλὰ, κ) ὄλβια, τύμβος ἔμαρψεν.

Γελιανοῦ, εἰς Πύῤῥωνα Σκεπτικὸν, ἀμοιβαῖον.

Κάτθανες ὦ Πύῤῥων; Ἐπέχω. Πυμάτην μετὰ μοῖραν
Φῂς ἐπέχειν; Ἐπέχω. Σκέψιν ἔπαυσε τάφος.

Λεωνίδε, εἰς Δημόκριτον.

Πλούτων δέξο μάκαρ Δημόκριτον. ὥς κεν ἀνάσσων
Αἰεὶ ἀμειδήτων, καὶ γελάοντα λάχοις.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΚΛΕΚΤΑ ΕΚ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ,

### ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΝΔΡΩΝ

Ἀγαθίου.

Εἰς εἰκόνα Γαβριήλου Ὑπάρχου ἐν Βυζαντίῳ.
Λεοντίου Σχολαστικοῦ.

ΚΑὶ Φαέθων γραφίδεσσιν ἔχει τύπον, ἀλλὰ χαράσσει
Ἠέλιον τέχνη, κρυπτομένων φαέων.
Καὶ σὲ σοφὲ Πολίαρχε γράφει Γαβριήλιε τέχνη,
Ἐκτὸς σῶν ἀρετῶν, ἐκτὸς ὅλων καμάτων.

Θεαιτήτου.

Τοῦτον Ἰουλιανὸν, νομικῆς φάος, εἶπον ἰδοῦσαι
Ῥώμη καὶ Βερόη. πάντα φύσις δύναται.

Μητροδώρου.

Αὐτὸν Ἰωάννην ὁ γέρων ὅτ' ἐδέξατο θεσμὸς,
Εἶπεν ἀνηβήσας, αὖθις ἔχω σε Σόλων.

Ἀπολ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπολλωνίδου.

Εἰ ποιός δὲ Λέων λάχεν αὐτίος Ἡρακλῆϊ,
  Οὐκ ἐὼν Ἀλκίδων τοῦτο τὸ δωδέκατον.

## ΕΙΣ ΑΓΩΝΙΣΤΩΝ ΕΙΚΟΝΑΣ.

### Εἰς Δρομέα. Ἄδηλον.

Λάδας τὸ στάδιον εἴθ᾿ ἥλατο, εἴτε διέπτη,
  Δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

Εἰς τὸν αὐτόν.

Οἷος ἔης φεύγων τὸν ὑπήνεμον ἔμπνοε Λάδα,
  Θυμὸν, ἐπ᾿ ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
Τοῖον ἐχάλκευσε Μύρων ἐπὶ παντὶ χαράξας
  Σώματι, Πισαίου προσδοκίῃ στεφάνου.
Πλήρης ἐλπίδος ἐστὶν, ἄκροις δ᾿ ἐπὶ χείλεσιν ἆθμα
  Ἐμφαίνει κοίλων ἔνδοθεν ἐκ λαγόνων.
Πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος. οὐδὲ καθέξει
  Ἁ βάσις. ὦ τέχνη πνεύματος ὠκυτέρα.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΣΙΛΕΩΝ.

### Εἰς εἰκόνα Πεισιστράτου.

Τρίς με τυραννήσαντα, τοσαυτάκις ἐξεδίωξε
  Δῆμος Ἐρεχθειδῶν, καὶ τρὶς ἐπηγάγετο,
Τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
  Ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
Ἡμέτερος γὰρ ἐκεῖνος ὁ χρύσεος ἦν πολιήτης,
  Εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

Εἰς εἰκόνα Βερενίκης. Ἀσκληπιάδου.

Κύπριδος ἅδ᾿ εἰκών. φέρ᾿ ἰδώμεθα μὴ Βερενίκας.
  Διστάζω, ποτέραν φῇ τις ὁμοιοτέραν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΓΥΝΑΙΚΩΝ.

Παύλου Σιλεντιαρίου.

Ὄμματα μὲν κούρης μόλις ἡ γραφίς, οὔτε δὲ χαίτην,
Οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
Εἴ τις μαρμαρυγὴν δύναται φαέθοντος γράψαι,
Μαρμαρυγὴν γράφει καὶ Θεοδωριάδος.

## ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ.

Εἰς τὸ τοῦ Διὸς ἄγαλμα. Φιλίππου.

Ἢ Θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ εἰκόνα δείξων,
Φειδία, ἢ σύγ' ἔβης τὸν Θεὸν ὀψόμενος.

Ἄδηλον.

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε· παντὶ δ' ἐπ' ἔργῳ
Μῶμος. ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΖΩΩΝ.

Εἰς τὴν Μύρωνος βοῦν.

Βοΐδιόν εἰμι Μύρωνος. ἐπὶ στήλῃ δ' ἀνάκειμαι.
Βουκόλε, κεντήσας εἰς ἀγέλην μ' ἄπαγε.

Ἀνακρέοντος, εἰς τὸ αὐτό.

Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
Βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

Εὐήνου, εἰς τὸ αὐτό.

Ἢ τὸ δέρας χάλκειον ὅλον βοῒ τᾷδ' ἐπίκειται
Ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

Τοῦ αὐτοῦ, εἰς τὸ αὐτό.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων. οὐκ ἔπλασα ταύταν
Τὰν δάμαλιν, ταύτας δ' εἰκόν' ἀπεπλασάμην.

Λεωνίδου, εἰς τὸ αὐτό.

Οὐκ ἔπλασέν με Μύρων. ἐψεύσατο. βοσκομέναν δέ,
Ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνᾳ.

Ἀν-

Ἀντιπάτρου Σιδωνίου εἰς τὸ αὐτό.

Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ,
  Ἄλλαις ἂν νεμόμαν βουσὶν ὁμοῦ δάμαλις.

Τοῦ αὐτοῦ, εἰς τὸ αὐτό.

Μόσχε, τί μοι λαγόνεσι προσέρχεαι; τίπτε δὲ μυκᾷ;
  Ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

Εἰς τὸ αὐτό.

Ἁ μόλιβος κατέχει με, καὶ ἁ λίθος. εἵνεκα δ' ἂν σεῦ
  Πλάστα Μύρων, λωτὸν καὶ θρῖον ἐδρεπόμαν.

Εἰς τὸ αὐτό.

Ἁ δάμαλις (δοκέω) μυκήσεται. ἢν δὲ βραδύνῃ,
  Χαλκὸς ὁ μὴ νοέων αἴτιος, οὐχὶ Μύρων.

Ἀντιπάτρου.

Ἁ δάμαλις (δοκέω) μυκήσεται. ἦ ῥ' ὁ Προμηθεὺς
  Οὐχὶ μόνος, πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.

Ἄδηλα.

Βοῦν ἰδίαν ποτὲ βουσὶ Μύρων μιχθεῖσαν ἐρεύνα.
  Εὗρε μόλις δ' αὐτήν, τὰς βόας ἐξελάσας.

Τοῦ αὐτοῦ.

Ἁ βοῦς ἁ τίκτουσ', ἀπὸ γαστέρος ἔπλασε τὰν βοῦν·
  Ἁ δὲ Μύρωνος χείρ, οὐ πλάσεν, ἀλλ' ἔτεκεν.

Τοῦ αὐτοῦ.

Καὶ χαλκῆ περ ἐοῦσα, λάλησεν ἂν ἡ κεραὴ βοῦς,
  Εἰ οἱ σπλάγχνα Μύρων ἔνδον ἐτεχνάσατο.

Ἀντιπάτρου, εἰς τὸ αὐτό.

Πηκτόν μοι τίς ἄροτρον ἐπ' αὐχένι, καὶ ῥυγὰ θέσθω.
  Εἵνεκα τῆς τέχνης σεῖο Μύρων, ἀρόσω.

Εἰς τὸ αὐτό, Δημητρίου τοῦ Βιθυνοῦ.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται. ἢν δέ γε ταῦρος,
  Βήσεται. ἢν δὲ νομεύς, εἰς ἀγέλην ἐλάσει.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοΐδιον. οἱ δὲ νομῆες
Βάλλουσί με λίθοις, ὡς ἀπολειπόμενον.

Εἰς τὸ αὐτὸ Μάρκου Ἀργενταρίου.

Βουκόλον ἢν ἐσίδῃς τὸν ἐμὸν ξένε, τοῦτ' ἔπος αὐτῷ
Εἰπὲ, ὅθ' ὁ πλάστης ὧδέ μ' ἔδησε Μύρων.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ταν βοῦν ταύδ' ὁ Μύρων ξεῖν' ἔπλασεν. ἢν ὅδε μόσχος
Ὡς ζῶσαν σαίνει μητέρα διψαλέος.

Εἰς τὸ αὐτὸ Διοκλείδος.

Ταῦρε μάτην ἐπὶ πόρτιν ἐπείγεται, ἔστι γὰρ ἄπνους.
Ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

Εἰς τὸ αὐτό.

Σεῖο Μύρων δαμάλει παρακάτθανε μόσχος ἀληθείς,
Καὶ γάλα πιστεύων χαλκὸν ἔσωθεν ἔχειν.

Εἰς τὸ αὐτό.

Φεῦ, ὁ Μύρων πλάσας οὐκ ἔφθασας. ἀλλά σε χαλκὸς
Πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

Εἰς τὸ αὐτό.

Χαλκείην τύπτεις δάμαλιν, μέγα σ' ἥπαφε τέχνη,
Βουκόλε· τὴν ψυχὴν οὐ προσέθηκε Μύρων.

Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἢ χαλκὸν ζώωσε Μύρων σοφὸς, ἢ τάχα πόρτιν
Χάλκωσε, ζωὰν ἐξ ἀγέλας ἐρύσας.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Πλάσα Μύρων, σέο πόρτιν ὁδοιπόρος ἦλθεν ἐλάσων.
Χαλκοῦ δὲ ψαύσας, φὼρ κενὸς ἐξεφάνη.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Εἰσορόων με λέων, χαίνει στόμα. χερσὶ δ' ἀείρει
Γειοπόνος ζεύγλην, ἀγρονόμος κορύνην.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τλῆθι Μύρων (τέχνῃσι βιάζεται) ἄπνοον ἔργον.
Ἐκ φύσεως τέχνη. οὐ γὰρ φύσιν εὕρατο τέχνη.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΡΧΑΙΩΝ, ΚΑΙ ΗΡΩΩΝ ΤΙΝΩΝ.

### Εἰς τοὺς ιβ΄. ἄθλους τοῦ Ἡρακλέους. Ἄδηλον.

Πρῶτα μὲν, ἐν Νεμέῃ βριαρὸν κατέπεφνε λέοντα.
Δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδρην.
Τὸ τρίτον αὖτ' ἐπὶ τοῖς, Ἐρυμάνθιον ἔκτανε κάπρον.
Χρυσόκερων δ' ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
Πέμπτον δ' ὄρνιθας Στυμφαλίδας ἐξεδίωξεν.
Ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
Ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
Ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
Εἴνατον, ἐκ Θρῄκης Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤγαγεν ἐξ Ἐρυθείης.
Κέρβερον ἑνδέκατον κύν' ἀνήγαγεν ἐξ Ἀΐδαο.
Δωδέκατον δ' ἐκόμισσεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
Τὸ τρισκαιδέκατον, πῖον λυγρὸν ἔσχεν ἄεθλον.
Μουνονυχὶ πεντήκοντα ξυνελέξατο κούραις.

Φιλίππου εἰς τὸ αὐτό.

Ὤλεσα τὸν Νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην,
Καὶ ταῦρον· κάπρου δ' ἀμφετίναξα γένυν.
Ζωστῆρ' ἑλκύσας, πώλους Διομήδεος εἷλον.
Χρύσεα μῆλα κλάσας, Γηρυόνην ἔλαβον.
Αὐγείαν ἐδάην. κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις.
Κέρβερον ἠγαγόμην. αὐτὸς Ὄλυμπον ἔχω.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὸν Ἡρακλέα, καὶ Ἀνταῖον.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
Καὶ πόνον ἐκ μορφᾶς, καὶ θράσος εἰργάσατο;
Ἔμψυχον τὸ πλάσμα. καὶ οἰκτείρω μογέοντα,
Καὶ φρίττω κρατερὸν τὸν θρασὺν Ἡρακλέα.
Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων.
Ἰδνωθεὶς δὲ, δοκεῖ καὶ στοναχὴν ἱέναι.

Εἰς ἄγαλμα τοῦ αὐτοῦ. Γεμίνου.

Ἡράκλες, ποῦ σοι πτόρθος μέγας, ἥτε Νέμειος
Χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
Ποῦ σοβαρὸν μίμημα; τίς ἔπλασεν ὧδε κατηφῆ;
Λύσιππος, χαλκῷ δ' ἐγκατέμιξ' ὀδύνην.
Ἄχθῃ γυμνωθεὶς ὅπλων σέο; τίς δέ σ' ἔπερσεν;
Ὁ πτερόεις. ὄντως εἷς βαρὺς ἆθλος, ἔρως.

Φιλίππου, εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις
Ἅρμασιν ἠερίην κλίμακα μησάμενος,
Εἷλεν ἂν ἄστυ βίῃ καὶ ὑπὲρ μόρον. αἴδετο γὰρ ῥὰ
Καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

Ἰουλιανοῦ εἰς Ἴκαρον.

Ἴκαρε χαλκὸς ἐὼν, μιμνήσκεο, μὴ δέο τέχνην,
Μήδ' ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
Εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
Πῶς ἐθέλεις πτῆναι χάλκεον εἶδος ἔχων;

Εἰς εἰκόνα Φιλοκτήτου. Γλαύκου.

Καὶ τὸν ἀπὸ Τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω,
Τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.
Ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
Δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
Ζωογράφων ὦ λῷστε σὺ μὲν σοφός. ἀλλ' ἀνάπαυσον
Ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς Ἀλέξανδρον. Ἄδηλον.

Τόλμαν Ἀλεξάνδρου, καὶ ὅλαν ἀπεμάξατο μορφὴν
Λύσιππος. τίν᾽ ὅδ᾽ ὁ χαλκὸς, ἔχει δύναμιν;
Αὐδάσοντι ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων.
Γᾶν ὑπ᾽ ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ᾽ Ὄλυμπον ἔχε.

## ΕΙΣ ΗΡΩΙΔΑΣ.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον, ἐκ δὲ λίθοιο
Ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

Γελιανοῦ Αἰγυπτίου εἰς τὸ αὐτό.

Δυστήνου Νιόβης ὁράας παναληθέα μορφὴν,
Ὡς ἔτι μυρομένης πότμον ἑῶν τεκέων;
Εἰ δ᾽ ἄρα καὶ ψυχὴν οὐκ ἔλαχε, μὴ τόδε τέχνῃ
Μέμφεο. θηλυτέρην εἴκασε λαϊνέην.

## ΠΑΤΡΑΔΑ ΕΙΣ ΑΓΑΛΜΑ ΗΧΟΥΣ,

Ὡς Παρὰ τοῦ Πανός.

Ἀχὼ φίλα μοι, συγκαταίνεσόν τι. τί;
Ἐρῶ Κορίσκας. ἃ δὲ μ᾽ οὐ φιλεῖ. φιλεῖ.
Πρᾶξαι δ᾽ ὁ καιρὸς καιρὸν οὐ φέρει. φέρει.
Τὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. ἐρῶ.
Καὶ πίστιν αὐτᾷ κερμάτων τὺ δός. τὺ δός.
Ἀχὼ, τί λοιπὸν, ἢ πόθου τυχεῖν; τυχεῖν.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΘΕΩΝ, ΚΑΙ ΘΕΑΙΝΩΝ.

Εἰς ἄγαλμα Ἀρτέμιδος. Διοτίμου.

Ὡς πρέπει, Ἄρτεμίς εἰμ᾽ εἰ δ᾽ Ἄρτεμιν αὐτὸς ὁ χαλκὸς
Μανύει Ζηνὸς, κοὐχ ἑτέρου θύγατρα,
Τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥάκεν εἴποις,
Πᾶσα χθὼν ὀλίγον τᾶδε κυναγέσιον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ.

Τίς λίθον ἐμψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν
Ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδε που πόνος, ἢ τάχ᾽ ὄλυμπος
Χηρεύει, Παφίης ἐς Κνίδον ἐρχομένης.

Πλάτωνος εἰς τὸ αὐτό.

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα,
Φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

Εὐήνου εἰς τὸ αὐτό.

Παλλὰς, καὶ Κρονίδαο συνευνέτις, εἶπον ἰδοῦσαι
Τὴν Κνιδίην, ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

Ἀντιπάτρου Σιδωνίου εἰς τὸ αὐτό.

Γυμνὴν εἶδε Πάρις με, καὶ Ἀγχίσης, καὶ Ἄδωνις.
Τοὺς τρεῖς οἶδα μόνους. Πραξιτέλης δὲ πόθεν;

Εἰς τὸ αὐτὸ, καὶ εἰς τὴν ἐν Ἀθήναις Ἀθηνᾶν.

Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος,
Καὶ λέξεις, αἰνῶ τὸν Φρύγα τῆς κρίσεως.
Ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις,
Ὡς βούτης ὁ Πάρις τήνδε παρεξόχασεν.

Εἰς τὴν Ἀφροδίτην ὡπλισμένην. Λεωνίδου.

Ἄρεος ἔντεα ταῦτα, τίνος χάριν ὦ Κυθέρεια
Ἐνδέδυσαι, κενὸν τοῦτο φέρουσα βάρος;
Αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας. εἰ δὲ λέλειπται
Καὶ Θεὸς, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

Εἰς τὴν αὐτήν. Ἀδέσποτον.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον εἶπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;
Ἡ δ᾽ ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
Εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

Ἀ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιπάτρου Σιδωνίου εἰς τὴν αὐτὴν ἀνερχομένην
ἀπὸ θαλάττης.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάττας
Κύπριν Ἀπελλείου μόχθος ὅρα γραφίδος.
Ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν,
Ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων,
Αὐταὶ νῦν ἐρέουσιν, Ἀθηναίη τε, καὶ Ἥρη,
Οὐκ ἔτι σοὶ μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων εἰς τὴν αὐτήν.

Ἄρτι θαλασσαίης Παφίην προὔκυψε λοχείης,
Μαῖαν, Ἀπελλαίην δραμένην παλάμην.
Ἀλλὰ τάχος γραφίδων ἀποχάζεο, μή σε διήνῃ
Ἀφρὸς ἀποστάζων, θλιβομένων πλοκάμων.
Εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον,
Τὴν Τροίην ἀδίκως Παλλὰς ἐληΐσατο.

Φιλίππου εἰς Ἀφροδίτην ὡπλισμένην.

Κύπρι φιλομειδὴς, θαλαμηπόλε, τίς σε μελιχρὴν
Δαίμονα τοῖς πολέμων ἐστεφάνωσεν ὅπλοις;
Σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης ὑμέναιος,
Καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες.
Ἐς τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ θρασὺν Ἄρη
Συλήσασ' αὐχεῖς, Κύπρις ὅσον δύναται;

Μαικίου εἰς ἄγαλμα Ἔρωτος δεδεμένου.

Κλαῖε δυσεκφύκτως σφιχθεὶς χέρας ἄκριτε δαῖμον,
Κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα,
Σωφροσύνας ὑβριστὰ, φρενοκλόπε, ληϊστὰ λογισμοῦ,
Πτηνὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον, Ἔρως.
Θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς ἄκριτε δεσμός.
Ὡς σφιγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
Ὃν δὲ βροτοῖς ἀφύλακτος ἐνέφλεγες ἐν φρεσὶ πυρσὸν,
Ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

Σεκούνδου εἰς ἀγάλματι ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
Ὅπλα φέρουσι Θεῶν νήπι' ἀγαλλόμενα,
Τύμπανα, καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
Ἀσπίδ' Ἐνυαλίου, καὶ κόρυν ἠύκομον,
Φοίβου δ' εὔπτερον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
Καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.
Τί πλέον ἀνθρώποισιν, ἔρως ὅτε καὶ πόλον εἷλε,
Τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

Εἰς στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχει, τῷ τε χαλινῷ,
Μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΙΑΤΡΩΝ.

Μάγνου Γάζου εἰς εἰκόνα Γαληνοῦ.

Ἦν χρόνος ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο Γαληνὲ,
Δέχνυτο μὲν θνητοὺς, ἔτρεφε δ' ἀθανάτους.
Χήρευεν δὲ μέλαθρα πολυκλαύτου Ἀχέροντος,
Σῇ παιωνίῃ χειρὶ βιαζόμενα.

## ΕΙΣ ΤΟΝ ΚΑΙΡΟΝ.

Εἰς ἄγαλμα τοῦ καιροῦ. Ποσειδίππου.

Τίς πόθεν ὁ πλάστης; Σικυώνιος. Οὔνομα δὴ τίς;
Λύσιππος. Σὺ δὲ τίς; Καιρὸς ὁ πανδαμάτωρ.
Τίπτε δ' ἐπ' ἄκρα βέβηκας; Ἀεὶ τροχάω. Τί δὲ ταρσοὺς
Ποσσὶν ἔχεις διφυεῖς; Ἵπταμ' ὑπηνέμιος.
Χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; Ἀνδράσι δεῖγμα,
Ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
Ἡ δὲ κόμη, τί κατ' ὄψιν; Ὑπαντιάσαντι λαβέσθαι.
Νὴ Δία; τἀξόπιθεν πρὸς τί φαλακρὰ πέλει;

Τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν γὰρ ἅπαξ πτήνοῖσι παραθρέξαντά με ποσσὶν,
Οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
Τοῖον ὁ τεχνίτης με διέπλασεν εἵνεκεν ὑμέων
Ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

## ΕΙΣ ΛΙΘΟΥΣ.

Κλαυδιανοῦ εἰς κρύσταλλον ἐντὸς ὕδωρ ἔχουσαν.

Εἴπ' ἄγε μοι κρύσταλλε, λίθῳ πεπυκασμένον ὕδωρ.
Τίς πῆξεν; Βορέης. ἢ τίς ἔλυσε; Νότος.

Πλάτωνος εἰς κρύσταλλον γεγλυμμένην.

Εἰκόνα πέντε βοῶν μικρὴ λίθος εἶχε Γάσπις,
Ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
Καὶ τάχα κἂν ἀπέφυγε τὰ βοΐδια. νῦν δὲ κρατεῖται
Τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

Εἰς Διόνυσον γεγχυμμένον ἐν ἀμεθύσῳ.

Πλάτωνος Νεωτέρου.

Α' λίθος ἐστ' ἀμέθυσος. ἐγὼ δ' ὁ πότας Διόνυσος.
Ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

Εἰς ἔρωτα γεγλυμμένον ἐν καυκίῳ. Οἰνομάου.

Ἐν κυάθῳ τὸν ἔρωτα τίνος χάριν; ἀρκετὸν οἴνῳ
Αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἔπαγε.

## ΕΙΣ ΛΟΥΤΡΟΝ.

Πλάτωνος.

Αἱ χάριτες λούσαντο. ἀμειψάμεναι δὲ λοετρὸν,
Δῶκαν ἑὸν ῥεθέων ὕδασιν ἀγλαΐην.

Εἰς τὸ αὐτό.

Ἢ τοῖον Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
Τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λουσαμένη.

Εἰς τὸ λουτρὸν Μαρίας.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν ὑπεδάκρυε Μῶμος,
Εἰπὼν, ὡς Μαρίην. καὶ σὲ παρερχόμεθα.

Κύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύρου ποιητοῦ εἰς ἕτερον.

Κύπρις σοὶ χαρίτεσσι, καὶ υἱεῖ χρυσοβελέμνῳ,
Ἐνθάδε λυσαμένη, μισθὸν ἔδωκε χάριν.

Εἰς τὸ αὐτό.

Ἐνθάδε λυσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις,
Δεῖξεν Ἀλεξάνδρῳ, καὶ ἀέθλιον ἥρπασε μῆλον.

Εἰς τὸ αὐτό.

Κύπρις, ἔρως, χάριτες, νύμφαι, Διόνυσος, Ἀπόλλων,
Ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

## ΕΙΣ ΝΙΚΗΝ.

Εἰς ἄγαλμα Νίκης ἄπτερον ἐν Ῥώμῃ, ἧς τὰ πτερὰ κεραυνῷ κατεφλέχθη. Πομπηίου.

Ῥώμη παμβασίλεια, τεὸν κλέος ὔποτ' ὀλεῖται.
Νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

Εἰς ἀφύλακτον οἶκον πωθασί. Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων Αἰγυπτίου.

Κερδαλέους δίζεσθε δόμους ληΐστορες ἄλλους.
Τοῖςδε γάρ ἐστι φύλαξ ἔμπεδος, ἡ πενίη.

## ΕΙΣ ΠΟΙΗΤΑΣ.

Εἰς εἰκόνα Ὁμήρου.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας.
Ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
Οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ,
Μήποτε σῶν ἐπέων δόξαν Ὅμηρος ἔχει;

Εἰς τὸν αὐτόν.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
Οὐ Κολοφὼν τραφερῆς ἄστρον Ἰηονίης,
Οὐ Χίος, οὐκ Αἴγυπτος εὔσπορος, οὐ Κύπρος ἁγνὴ,
Οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,

Οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὐκ Ἄργος Δαναοῖο, Κυκλωπείη τε Μυκήνη,
Οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
Οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ᾽ αἰθέρος ἀλλὰ ἑ μοῦσαι
Πέμψαν, ἵν᾽ ἡμετέροις δῶρα ποθητὰ φέρῃ.

Ἀντιπάτρου εἰς τὸν αὐτόν.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου.
Κύμη, Σμύρνα, Χίος, Κολοφὼν, Πύλος, Ἄργος, Ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφὼν, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Χίος ἔφυς; οὔ φημι. τί δαὶ, Σμυρναῖος; ἀπαυδῶ.
Κύμη δ᾽, ἢ Κολοφὼν, πατρὶς Ὅμηρε σέθεν;
Οὐδετέρη. Σαλαμὶς δὲ τεὴ πόλις; Οὐδ᾽ ἀπὸ ταύτης
Ἐξέφυν. Ἀλλ᾽ αὐτὸς λέξον ὅπῃ γέγονας.
Οὐκ ἐρέω. Τίνος ἢ ῥά; πέπεισμ᾽ ὅτι τἀτρεκὲς εἰπὼν,
Ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

Ἄδηλον.

Καλλιόπη βασίλεια Γεώργιον εἶπεν ἰδοῦσα.
Οὗτος ἐμὸς θυέτης γνήσιος, οὐ κρονίδης.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΡΗΤΟΡΩΝ.

Θωμᾶ Σχολαστικοῦ.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
Πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
Σεῖο πόνους φιλέω Δημόσθενες· εἰμὶ δὲ λίην
Καὶ φιλαριστείδης, καὶ φιλοθουκυδίδης.

Παλλαδᾶ εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
Σιγᾷς; οὐ λαλέεις; οὐδὲν ὁμοιότερον.

Εἰς

Εἰς τὸ αὐτό.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας. ἀλλὰ Μαρίνῳ
 Ὕβρεις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

Εἰς ἄγαλμα Ἀριστείδου τοῦ ῥήτορος.

Νεῖκος Ἀριστείδης Γάδων κατέπαυσε πολήων,
 Τὸ πρὶν Ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.
Φασὶ γὰρ πᾶσαι, Σμύρνη τέκε θεῖον Ὅμηρον,
 Ἡ καὶ Ἀριστείδην ῥήτορα γειναμένη.

## ΕΙΣ ΣΚΕΥΗ.

Εἰς κωνωπεῶνα. Ἄδηλον.

Πλέγμασι μὲν σκοπός εἰμι, περισφίγξαι πετεηνῶν
 Ἔθνεα, καὶ ταχινὰς ἔνδοθεν ὀρταλίχους.
Αὐτὰρ ἐγὼ σθένειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
 Ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
Οὐδέ με τίς λήσειε, καὶ εἰ βραχὺς ἔπλετο κώνωψ,
 Ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
Ὄρνεά που σώζω, μερόπεσσι δὲ λέκτρα φυλάσσω.
 Ἦ ῥά τίς ἡμείων ἐστὶ δικαιότερος;

Παύλου Σιλεντιαρίου εἰς τάβλαν.

Ἑζόμενος μὲν τῆδε παρ' εὐλαΐγγι ξαπίζῃ,
 Παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
Μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς,
 Ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
Καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός.
 Καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

Ἀδέσποτον.

Χαλκοτύπος τὸν ἔρωτα μεταλλάξας, ἐποίησε
 Τήγανον. οὐκ ἀλόγως, ὅττι καὶ αὐτὸ φλέγει.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Εἰς ἀνδριάντα Πυθαγόρου. Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
  Ἤθελεν ὁ πλάστης Πυθαγόρην τελέσαι,
Ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι. καὶ τάχα φωνὴν
  Ἔνθεν ἀποκρύπτει, καὶ τόδ' ἔχων ὀπάσαι.

Εἰς τὸ αὐτό.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
  Εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

Εἰς εἰκόνα Πλουτάρχου. Ἀγαθίου Σχολαστικοῦ.

Σεῖο πολυκλύεντα τύπον στήσαντο Χερωνεῦ
  Πλούταρχε, κρατερῶν υἷες Αὐσονίων.
Ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
  Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
Ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον,
  Οὐδὲ σύγ' ἂν γράψαις. οὐ γὰρ ὅμοιον ἔχεις.

Εἰς Εἰκόνα Αἰσώπου. Τοῦ αὐτοῦ.

Εὖγε ποιῶν Λύσιππε γέρον Σικυώνιε πλάσα,
  Δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου.
Ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
  Ἔμβαλον, οὐ πειθὼ φθέγμασι τοῖς σφετέροις.
Ὃς δὲ, σοφοῖς μύθοις, καὶ πλάσμασι καίρια λέξας,
  Παίζων, ἐν σπουδῇ πείθει ἐχεφρονέειν.
Φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις. ἡ Σαμίου δὲ,
  Τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

ΕΠΙ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΕΚ ΤΟΥ ΠΕΜΠΤΟΥ, ΕΚΤΟΥ, ΚΑΙ ΕΒΔΟΜΟΥ ΒΙΒΛΙΟΥ.

### Εἰς τὰς ἐν τῷ Ἱπποδρόμῳ Κωνσταντινουπόλεως στήλας τῶν Ἀθλητῶν.

### Εἰς Πορφύριον.

Πάντα τύχης ὀφθαλμὸς ἐπέρχεται· ἀλλ' ἐπὶ μούνοις
Πορφυρίου καμάτοις, ἕλκεται ὄμμα τύχης
Εἰς τὸν αὐτόν.
Πλάστης χαλκὸν ἔτευξεν ὁμοίιον ἡνιοχῆι,
Εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
Ὄγκον ὁμοῦ καὶ κάλλος. ὅπερ φύσις ὀψὲ τεκοῦσα,
Ὤμοσεν, ὠδίνειν δεύτερον οὐ δύναμαι.
Ὤμοσεν εὐόρκοις ὑπὸ χείλεσι. Πορφυρίῳ γὰρ
Πρώτῳ, καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.
Εἰς Καλλιόπην.
Πρεσβυτέρους κοῦρος μὲν ἐών, πρέσβυς δέ τε κούρους
Νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
Ἓξ δ' ἐτέων αὐγάσας δεκάδας, στήλην ἐπὶ νίκαις
Εἷλες Καλλιόπα, νεύματι κοιρανίης,

Ὄφρα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὄφρα μὲν οἱ ϗ ἔπειτα τεὸν κλέος. αἴθε τοι εἴη
Ὡς κλέος ἀθάνατον, ϗ δέμας ἀθάνατον.

Εἰς Φαυςῖνον.

Πρίν σε νέον Φαυςῖνε, νόος πεφόβητο γερόντων.
Νῦν δέ σε πρεσβύτην, κάρτος ἔφριξε νέων.
Δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος. ὅς σε γεραίρει
Πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι νέον.

Εἰς Κωνςαντῖνον.

Ἐξότε Κωνςαντῖνος ἔδυ δόμον ἄϊδος εἴσω,
Ὤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

Εἰς τὸν αὐτόν.

Ἀντολίης, Δύσιός τε, Μεσημβρίης τε, ϗ Ἄρκτε,
Σὸς δρόμος ὑψιφανὴς ἀμφιβέβηκεν ὅρους,
Ἄφθιτε Κωνςαντῖνε. θανεῖν δέ σε μήτις ἐνίσπῃ.
Τῶν γὰρ ἀνικήτων ἅπτεται ἐδ' ἀΐδης.

Εἰς τὸν αὐτόν.

Ἤθελε Κωνςαντῖνον ἀεὶ πόλις ἡνιοχεύειν,
Ἤθελεν, ἀλλὰ πόθῳ ἐκ ἐπεύδυσε φύσις.
Ἔνθεν ἐῶν τόδ' ἄγαλμα παραίφασιν εὕρεν ἐρώτων,
Ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλῃ.
Ἀλλὰ μόνοι ποθέουσιν ἔρως, ζῆλος δ' ἐλατῆρσι,
Κόσμος δὲ ςαδίοις, ἐσσομένοις δὲ φάτις.
Καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας,
Ὀλβίσσῃ προτέρην, ἣν μὲν ἴδεν, γενεήν.

Εἰς Πορφύριον, μέρους Βενέτων.

Ἐν γῇ κρατήσας παντὸς ἁρματηλάτε,
Καλῶς ἐπήρθη ϗ πρὸς αἰθέρα τρέχειν
Πορφύριος, τὸ θαῦμα δήμου Βενέτων.
Νικῶν γὰρ οὗτος πάντα γῆς διφρηλάτην,
Ἄνεισιν, ὥς ἂν ϗ σὺν ἡλίῳ δράμοι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς Φαυστῖνον, μέρους Πρασίνων.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.
Εἰ μὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,
Πρὸς οὐρανοὺς ἂν ὦρτο Φαυστῖνος τρέχων,
Ὡς ζῶν σὺν ἵπποις τὸ κλέος πεὶν Πρασίνων.
Ἄρον στέγος γὰρ, καὶ φθάνει πρὸς αἰθέρα.

# ΕΙΣ ΑΓΑΛΜΑ ΤΩ ΗΛΙΩ, ΠΑΡΑ ΤΩΝ ΡΟΔΙΩΝ.

Αὐτῷ σοὶ πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν
Τόνδε Ῥόδου ναέται Δωρίδος Ἄελιε,
Χάλκεον, ἁνίκα κῦμα κατευνάσαντες Ἐνυοῦς,
Ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
Οὐ γὰρ ὑπὲρ πελάγους μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
Ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίης.
Τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλης,
Πάτριος ἐν πόντῳ, κἠν χθονὶ κοιρανίη.

Ἰουλιανοῦ εἰς Ἀλιέα.

Ταῖς νύμφαις Κινύρης τόδε δίκτυον. οὐ γὰρ ἀείρει
Γῆρας ἀκοντιστὴν μόχθον ἐκηβολίης.
Ἰχθύες, ἀλλὰ νέμεσθε γεγηθότες, ὅττι θαλάσσῃ
Δῶκεν ἔχειν Κινύρου γῆρας ἐλευθερίην.

# ΑΝΤΙΣΤΡΕΦΟΝΤΑ.

Νικοδήμου Ἡρακλεώτου πάντα.

Πηνελόπη, τόδε σοι φᾶρος, καὶ χλαῖναν Ὀδυσσεὺς
Ἤνεγκεν δολιχὴν ἐξανύσας ἀτραπόν.

Ἀλ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλο.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα φίλον βρομίοιο, καὶ υἱὸν
Ἀρκάδος, ἀντ' ἀλκᾶς ἔγραφον Ὠφελίων.

Ἄλλο.

Πραξιτέλης ἔπλασε Δανάην καὶ φάρεα νυμφῶν
Λύγδινα, καὶ πέτρης Πᾶνά με Πεντελικῆς.

Ἄλλο.

Κύπριδι κυροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
Χαίροντες, νύμφας ἐκ θαλάμων ἄγομεν.

Ἄλλο.

Αἰθομένας ὑπὸ δασὶν ἐν εὐρυχώρῳ πατρὸς οἴκῳ,
Παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος.

Ἄλλο.

Ἀσκανίη μέγα χαῖρε καλή, καὶ χρύσεα Βάκχου
Ὄργια, καὶ μοῦσαι πρόκειντοι Εὐΐεω.

Ὅπως ἀντιστρέφονται ταῦτα, παράδειγμα.

Εὐΐεω πρόκειντοι μοῦσαι καὶ ὄργια Βάκχου
Χρύσεα, καὶ καλὴ χαῖρε μέγ' Ἀσκανίη.

## ΑΠΟ ΓΕΩΡΓΩΝ.

### Φιλίππου.

Σπερμοφόρον πήρην ὠμαχθέα, κ' ὠλεσίβωλον
Σφύρην, καὶ γαμψὰς πυρολόγους δρεπάνας,
Καὶ τριβόλους ὀξεῖς ἀχυρότριβας, ἰσοβόην τε
Σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν,
Κεῖτα τ' ὀπισθοιυγῆ, καὶ βουστροφα δέσμα τενόντων,
Καὶ τρίνακας ξυλίνας χεῖρας ἀρουροπόνου.
Γῆα πεπηρωθεὶς Λυσίξενος αὔλακι πολλῇ,
Ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σαβίνου.

Πανὶ Βίτων χίμαρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
Τρισσῶν ὑπ᾽ Ἀπετάλοις δῶρον ἔθηκε φόβαις.
Δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι. αὔξετε δ᾽ αἰεί,
Πάν, ἀγέλην. Νύμφαι, πίδακα. Βάκχε, γάνος.

## ΑΠΟ ΓΥΝΑΙΚΩΝ.

Πλάτωνος.

Ἡ σοβαρὸν γελάσασα καθ᾽ Ἑλλάδος, ἡ τῶν ἐρώντων
Ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων,
Τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
Οὐκ ἐθέλω. οἵη δ᾽ ἦν πάρος, οὐ δύναμαι.

Φιλίππου.

Κερκίδας ὀρθολάλοισιν χελιδόσιν εἰκελοφώνους,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας.
Καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
Σφονδυλοδινήτῳ νήματι νηχόμενον,
Καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὃν ποτ᾽ ὀδόντων
Ἐπλήρου τολύπη πᾶσα καθαιρομένη,
Σοὶ φιλέεργε κόρη Παλλαντιὰς, ἡ βαθύγηρως
Αἰσινόη, πενίης δῶρον ἀνεκρέμασεν.

## ΕΙΣ ΘΗΡΑΣ.

Γαίτου.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
Ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
Θηρὸς δ᾽ οὐκ ἀφάμαρτε. διὰ στόματος γὰρ ὀϊστὸς
Ἤϊξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
Παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην
Σῆμα καὶ εὐτυχίης θῆκε, καὶ εὐστοχίης.

ΑΠΟ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΑΠΟ ΚΗΠΩΡΩΝ.

## Ζωνᾶ.

Ἀρτιχανῆ ῥοιαν τε, ϗ ἀρτίχνουν τόδε μῆλον,
Καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον,
Πορφύρεόν τε βότρυν μεθυπίδακα πυκνόρωγον,
Καὶ κάρυον λεπτῆς ἀρτίδορον λεπίδος,
Ἀγροιώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ,
Θῆκεν ὁ καρποφύλαξ δενδρεακὴν θυσίην.

## Λεωνίδα εἰς τὸ αὐτό.

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι,
Ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης.
Ὧν ἀπὸ μὲν πτηνῶν, Πίγρης τάδε. ταῦτα δὲ, Δᾶμις
Τετραπόδων. Κλείτωρ δ' ὁ τρίτος εἰναλίων.
Ἀνθ' ὧν τῷ μὲν, πέμπε δι' ἠέρος εὔστοχον ἄγρην.
Τῷ δὲ, διὰ δρυμῶν. τῷ δὲ, δι' ἠιόνων.

## Εἰς στρατιώτην, Εὐτολμίου Ἰλλουστρίου.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος, Ἀθήνῃ
Ῥοῦφος Μεμβιάδης Γέλλιος ἐκρέμασεν.

# ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

## Ἀγαθίου Σχολαστικοῦ.

Ἡ πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
Σειομένη παίκτας, ϗ σοβαρευομένη,
Ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
Χεῖρας ἐρεικνώθη, τὴν πρὶν ἀφῆκε χάριν.
Μαζὸς ὑπεκλίνθη, πέσον ὀφρύες, ὄμμα τέτηκται,
Χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
Τὴν πολιὴν, καλέω νέμεσιν πόθου, ὅτι δικάζει
Ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Μηδὲν ἄγαν σοφὸς εἶπεν· ἐγὼ δέ τις ὡς ἐπέραστος,
  Ὡς καλὸς, ἠέρθην ταῖς μεγαλοφροσύναις.
Καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
  Κεῖσθαι τῆς κούρης τῆς τάχα κερδαλέης.
Ἡ δ' ὑπερηέρθη, σοβαρὴν δ' ὑπερέσχεθεν ὀφρὺν,
  Ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.
Καὶ νῦν ὁ βλοσυρωπὸς, ὁ χάλκεος, ὁ βραδυπειθὴς,
  Ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης.
Πάντα δ' ἔναλλα γένοντο. πεσὼν δ' ἐπὶ γούνασι κούρης,
  Ἴαχον, ἱλήκοις, ἤλιτεν ἡ νεότης.

Φιλοδήμου.

Ἠράσθης πλουτῶν Σωσίκρατες. ἀλλὰ πένης ὢν,
  Οὐκ ἔτ' ἐρᾷς. λιμὸς φάρμακον οἷον ἔχει.
Ἡ δὲ πάρος σε καλοῦσα μύρον, καὶ τερπνὸν Ἄδωνιν
  Μηνοφίλα, νῦν τοι τοὔνομα πυνθάνεται.
Τίς; πόθεν εἶς ἀνδρῶν; πόθι τοι πτόλις; ἦ μόλις ἔ
  Τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

Ῥουφίνου.

Κάλλος ἔχεις Κύπριδος. πειθοῦς στόμα. σῶμα, καὶ ἀκ
  Εἰαρινῶν ὡρῶν. φθέγμα δὲ, Καλλιόπης.
Νοῦν, καὶ σωφροσύνην, Θέμιδος, καὶ χεῖρας Ἀθήνης.
  Σὺν σοὶ δ' αἱ χάριτες, τέσσαρές εἰσι, φίλη.

Τοῦ αὐτοῦ.

Πέμπω σοι Ῥοδόκλεια τόδε στέφος ἄνθεσι πλέξας,
  Αὐτὸς ὑφ' ὑμετέραις δρεψάμενος παλάμαις.
Ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
  Καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
Ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα.
  Ἀνθεῖς, καὶ λήγεις καὶ σὺ καὶ ὁ στέφανος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοῦ αὐτοῦ.

Τέσσαρες αἱ χάριτες, Παφίαι δύο, καὶ δέκα μοῦσαι.
Δερκυλὶς ἐν πάσαις, μοῦσα, χάρις, Παφίη.

Τοῦ αὐτοῦ.

Εἰ ταύτας ὁ κριτὴς ὁ Θεῶν ἐθεάσατο κούρας,
Οὐκ ἔτ᾽ ἂν οὐδ᾽ ἐσιδεῖν ἤθελε τὰς προτέρας.

Τοῦ αὐτοῦ.

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ᾽ αἱ Πολυκλείτου,
Αἱ ταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;
Τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα
Ὄμματα, καὶ δειρῆς φέγγος ἀποπλάσεται;
Ποῦ πλάσται; ποῦ δ᾽ εἰσὶ λιθοξόοι; ἔπρεπε τῇδε
Μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξόανον.

Ἄδηλον.

Ποῦ σοι κεῖνα Μέλισσα τὰ χρύσεα, καὶ περίοπτα
Τῆς πολυθρυλλήτου κάλλεα φαντασίης;
Ποῦ δ᾽ ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχὴν,
Καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
Νῦν πενιχρὴ, ψαφαρῆτε, κόμη τ᾽ ἐπὶ πᾶσι βραχεῖα.
Ταῦτα τὰ τῶν σπαταλῶν τέρματα παλλακίδων.

Ἄδηλον.

Χαῖρε κόρη. Καὶ δὴ σύ. Τίς ἡ προσιοῦσα; Τί πρὸς σέ;
Οὐκ ἀλόγως ζητῶ δεσπότις. Ἡμετέρη.
Ἐλπίζειν ἕξεστι; Ζητεῖς δὲ τί; Νύκτα. Φέρεις τί;
Χρυσίον. Εὐθύμει. Καὶ πόσον; Οὐ δύναμαι.

Ἰουλιανοῦ ἀπὸ Ὑπάρχων Αἰγυπτίου.

Οἶδα φιλεῖν φιλέοντας, ἐπίσταμαι ἤν μ᾽ ἀδικῇ τις,
Μισεῖν. ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΘΕΟΚΡΙΤΟ[Υ]

## ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ ΕΙΔΥΛΛΙΟΝ.

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ Εἰδυλλίου.

Ἐν τούτῳ τῷ Εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλους Θύρσι[ς] Ποιμὴν καὶ Αἰπόλος. ὁ δὲ Θύρσις βουκολικῶς ᾄδει τ[ὸν] ὑπ' ἔρωτος τηκόμενον καὶ ἀποθνήσκοντα Δάφνιδα, καὶ ἀ[ν]τὶ τούτου αἶγα ἐς τρὶς ἀμέλξαι, καὶ καλὸν κισσύβ[ιον] παρὰ τοῦ Αἰπόλου γέρας λαμβάνει.

### ΘΥΡΣΙΣ, Η' ΩΔΗ. Εἰδύλλιον ά.

### ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, καὶ ΑΙΠΟΛΟΣ.

Α'Δύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς Αἰπόλε τήνα,
Α' ποτὶ ταῖς παγαῖσι, μελίσδεται. ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ.
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ
Α' χίμαρος. χιμάρῳ δὲ καλὸν κρῆς, ἔςτε κ' ἀμέλξῃς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΑΙΠΟΛΟΣ.

Ἅδιον ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ Μῶσαι τὰν οἶϊδα δῶρον ἄγωνται,
Ἄρνα τὺ σακίταν λαψῆ γέρας. αἰ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξεῖς.

## ΘΥΡΣΙΣ.

Λῆς ποτὶ τᾶν νυμφᾶν, λῆς Αἰπόλε τῆδε καθίξας
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, ἅτε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

## ΑΙΠΟΛΟΣ.

Οὐ θέμις ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν. τὸν Πᾶνα δεδοίκαμες, ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται, ἔντι γε πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ ( τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγεα εἴδες,
Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας )
Δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν κραναιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς
Ὡς πόκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
Ἃ δύ' ἔχοισ' ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας.
Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον·
Τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
Καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ, γυνὰ, τί Θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι. πὰρ δέ οἱ, ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Νεικεῦσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς.
Ἄλλοκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελοῖσα,
Ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτ
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
Λεπράς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκ
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν.
Ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες
Καὶ πολιῷ περ ἐόντι, τὸ δὲ σθένος ἄξιον ἅβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος.
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος. ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἃ μὲν ἀν' ὄρχ
Φοιτῇ σινομένα τὰν τρώξιμον. ἃ δ', ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνήσει
Φατί, πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
Αὐτὰρ ὅγ' ἀνθερίσκοισι καλὰν πλέκει ἀκριδοθήραν
Σχοίνῳ ἐφαρμόσδων. μέλεται δέ οἱ οὔτε τι πήρης.
Οὔτε φυτῶ τοσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος.
Αἰπολικόν τι θάημα, τέρας κε τὺ θυμὸν ἀτύξαι.
Τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος.
Οὐδέτι πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον. τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴ κέν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς,
Κοὔτοι τι φθονέω. πόταγ' ὠγαθέ. τὰν γὰρ ἀοιδὰν
Οὔτι πω εἰς ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

# ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά.
Πᾶ ποκ' ἄρ' ἦθ', ὅκα Δάφνις ἐτάκετο, πᾶ ποκα νύμφαι;
Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω.
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χ' ὡκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχετε βωκολικᾶς μῶσαι, φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δὲ, Δάφνι,
Τίς τυ κατατρύχει; τίνος ὠγαθὲ τόσσον ἔρασσαι;
Ἄρχετε βωκολικᾶς μῶσαι, φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίαπος,
Κἦφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ζατοῖς. ἁ δύσερώς τι ἄγαν καὶ ἀμήχανος ἐσσί.
Βούτας μὲν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
Ὡιπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμὼς ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος οἷα γελᾶντι,
Τάκεαι ὀφθαλμὼς ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ' οὐδὲν ποτιλέξαθ' ὁ βωκόλος, ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.

Ἄρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄρχετε βωκολικᾶς μῶσαι φίλαι. ἄρχετ᾽ ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρη μὲν γελάοισα, βαρὺν δ᾽ ἀνὰ θυμὸν ἔχοισα.
Κεῖπε, τύθην τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν.
Ἆρ᾽ οὐκ αὐτὸς ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης;
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Τὰν δ᾽ ἄρα χ᾽ ὡ Δάφνις ποταμείψατο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φράσδει πάνθ᾽ ἅλιος ἄμμι δεδύκει
Δάφνις· κ᾽ εἰν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ᾽ Ἴδαν,
Ἕρπε ποτ᾽ Ἀγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὡραῖος χ᾽ ὡ Ἄδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία πάλλα διώκει.
Ἄρχετε βωκολικᾶς κ. τ.
Αὖτις ὅπως στάσῃ Διομήδεος ἆσσον ἰοῖσα,
Καὶ λέγε, τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς κ. τ.
Ὦ λύκοι ὦ θῶες ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ᾽. ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
Οὐκέτ᾽ ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ᾽ Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς. κ. τ.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς κ. τ.
Ὦ Πὰν Πὰν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύγ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ταν Σικελαν, Ελίκας δε λίπε ρίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.
Λέγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Ἔνθ᾽ ὦ ἄναξ, καὶ τάνδε φέρ᾽ εὐπάκτοιο μελίπνουν
Ἐκ κηρῶ σύριγγα καλάν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ᾽ ἔρωτος ἐς ᾅδαν ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ᾽ ἄκανθαι,
Ἁ δὲ καλὰ νάρκισσος ἐπ᾽ ἀρκεύθοισι κομάσαι.
Πάντα δ᾽ ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει, καὶ τὼς κύνας ὤλαφος ἕλκοι·
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς κ. τ.
Χὼ μὲν τόσσ᾽ εἰπὼν, ἀπεπαύσατο. τὸν δ᾽ Ἀφροδίτα
Ἤθελ᾽ ἀνορθῶσαι, τάγε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν μώσαις φίλον, ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς κ. τ.
Καὶ τὺ δίδου τὰν αἶγα, τό, τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μοίσαις. ὦ χαίρετε πολλάκι μοῖσαι,
Χαίρετ᾽· ἐγὼ δ᾽ ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

# ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρες δὲ σχαδόνων, καὶ ἀπ᾽ Αἰγίλω ἰσχάδα τρώγοις
Ἁδεῖαν, τέττιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ᾽ ἴθι Κισσαίθα. τὺ δ᾽ ἄμελγέ νιν. αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτασεῖτε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.
ΕΙΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ,
Εἰδύλλιον.

Ἄδωνιν ἡ Κυθήρη
Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὰν ἔχοντα χαίταν,
Ὠχράν τε τὴν παρειάν,
Ἄγειν τὸν ὗν πρὸς αὐτὴν
Ἔταξε τοὺς Ἔρωτας.
Οἱ δ' εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε κἀπέδησαν.
Χὠ μὲν, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον.
Ὁ δ' ἐξόπισθ' ἐλαύνων,
Ἔτυπτε τοῖσι τόξοις.
Ὁ θὴρ δ' ἔβαινε δειλῶς.
Φοβεῖτο γὰρ Κυθήρην.
Τῷ δ' εἶπεν Ἀφροδίτα,
Πάντων κάκιστε θηρῶν
Σὺ τόνδε μηρὸν ἴψω;
Σύ μου τὸν ἄνδρ' ἔτυψας.
Ὁ θὴρ δ' ἔλεξεν ὧδε.
Ὄμνυμί σοι Κυθήρη
Αὐτήν σε, καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μου τὰ δεσμὰ,
Καὶ τούσδε τοὺς κυναγοὺς,
Σὸν ἄνδρα τὸν καλόν σου
Οὐκ ἤθελον πατάξαι,
Ἀλλ' ὡς ἄγαλμ' ἐσεῖδον,
Καὶ μὴ φέρων τὸ καῦμα;
Γυμνὸν τὸν εἶχε μηρὸν,
Ἐμαινόμην φιλᾶσαι,
Καί μου κατεσίναξε.
Τούτους λαβοῦσα Κύπρι,
Τούτους κόλαζε, τέμνε.
Τί γὰρ φέρω περισσοὺς
Ἐρωτικοὺς ὀδόντας;
Εἰ δ' οὐχί σοι τάδ' ἀρκεῖ
Καὶ ταῦτ' ἐμοῦ τὰ χείλη.
Τὸν δ' ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι
Τὰ δεσμά οἱ πιλῦσαι.
Ἐκ τοῦ δ' ἐπηκολούθει,
Καὶ ὕλαν οὐκ ἔβαινε.
Καὶ τῷ πυρὶ προσελθὼν
Ἔκαιε τοὺς ἔρωτας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΙΝΔΑΡΟΥ

## ΟΛΥΜΠΙΑ.

### ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩ,
Κέλητι. Εἶδος Α'.

Στροφὴ α'. κῶλ. ιζ'.

Ἄριστον μὲν ὕδωρ. ὁ δὲ
Χρυσὸς, αἰθόμενον πῦρ.
Ἅτε διαπρέπει νυκτὶ
Μεγάνορος ἔξοχα πλούτου.
Εἰ δ' ἄεθλα γαρύεν
Ἔλδεαι φίλον ἦτορ,
Μηκέθ' ἁλίου σκόπει
Ἄλλο θαλπνότερον
Ἐν ἁμέρᾳ φαεινὸν ἄστρον
Ἐρήμας δι' αἰθέρος.
Μηδ' Ὀλυμπίας ἀγῶνα
Φέρτερον αὐδάσομεν.
Ὅθεν ὁ πολύφατος
Ὕμνος ἀμφιβάλλεται
Σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους
Μάκαιραν Ἱέρωνος ἑστίαν.

Ἀντιστρ. κῶ. ιζ'.

Θεμιστεῖον ὃς ἀμφέπει
Σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν
Κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν,
Ἀγλαΐζεται δὲ καὶ
Μουσικᾶς ἐν ἀώτῳ,
Οἷα παίζομεν φίλαν
Ἄνδρες ἀμφὶ θαμὰ
Τράπεζαν. ἀλλὰ Δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
Λάμβαν', εἴτι τοι Πίσας τε
καὶ Φερενίκου χάρις
Νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν.
Ὅτε παρ' Ἀλφεῷ σύτο, δέμας
Ἀκέντητον ἐν δρόμοισι παρέ-
χων,
Κράτει δὲ προσέμιξε δεσπόταν,

Ἐπῳδός. κῶ. ιγ'.

Συρακόσιον ἱπποχάρμαν
Βασιλῆα. λάμπει
Δέ οἱ κλέος ἐν εὐάνορι Λυδοῦ
Πέλοπος ἀποικίᾳ· τοῦ μεγα-
σθενὴς
Ἐράσσατο γαιάοχος Ποσειδᾶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπεί νιν καθαροῦ λέβητος ἔξελε
Κλωθώ, ἐλέφαντι φαίδιμον
Ὦμον κεκαδμένον.
Ἦ θαῦμα τὰ πολλά.
Καίπου τι καὶ βροτῶν φρένα,
Ὑπὲρ τὸν ἀληθῆ λόγον,
Δεδαιδαλμένοι ψεύδεσι ποι-
κίλοις
Ἐξαπατῶντι μῦθοι.

Στροφὴ β΄. κῶ. ιζ΄.

Χάρις δ᾽ ἅπερ ἅπαντα τεύ-
χει τὰ μείλιχα θνατοῖς,
Ἐπιφέροισα τιμὰν,
Καὶ ἄπιστον ἐμήσατο πιστὸν
Ἔμμεναι τὸ πολλάκις.
Ἁμέραι δ᾽ ἐπίλοιποι,
Μάρτυρες σοφώτατοι.
Ἔστι δ᾽ ἀνδρὶ φάμεν
Ἐοικὸς ἀμφὶ δαιμόνων κα-
λά. μείων γὰρ αἰτία.
Υἱὲ Ταντάλου, σὲ δ᾽ ἀντία
προτέρων φθέγξομαι.
Ὁπότ᾽ ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
Ἐς ἔρανον, φίλαν τε Σίπυλον,
Ἀμοιβαῖα θεοῖσι δεῖπνα πα-
ρέχων,
Τότ᾽ ἀγλαοτρίαιναν ἁρπάσαι,

Ἀντιστροφὴ, κῶ. ιζ΄.

Δαμέντα φρένας ἱμέρῳ,
Χρυσέαισιν ἀν᾽ ἵπποις,

Ὕπατον εὐρυτ
Ποτὶ δῶμα Δ
Ἔνθα δευτέρ
Ἦλθε καὶ Γα
Ζηνὶ τωὔτ᾽ ἐπ
Ὡς δ᾽ ἄφαντο
λες, οὐδὲ ματ
μενοι φῶτες ἄγ
Ἔννεπε κρυφᾷ
κα φθονερῶν γ
Ὕδατος ὅτι τε
ει ζέοισαν ἀμ
Μαχαίρᾳ τάμ
Τραπέζαισί τ᾽
κρεῶν.

Ἐπῳ.

Ἐμοὶ δ᾽ ἄπορα
Μακάρων τ᾽ εἰ
Ἀφίσαμαι ἀκέ
Θαμινὰ κακαγ
τιν᾽ ἄν-
δρα θνατὸν Ὀλ
ἐτίμα-
σαν, ἦν Ταντα
λὰ γὰρ και
πέψαι μέγαν
νάσθη. κόρῳ δ᾽
Ἄταν ὑπέροπλ
Τάν οἱ πατὴρ
σε, καρτερὸν αὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν αἰεὶ, μνωσιῶν κεφαλᾶς
βαλεῖν,
Εὐφροσυνάς ἀλᾶται.
Στροφὴ γ'. κώ. ιζ'.
Ἔχει δ' ἀπάλαμον βίον
Τῦτον, ἐμπεδόμοχθον,
Μετὰ τριῶν τέταρτον
Πόνον, ἀθανάτων ὅτι κλέψας
Ἀλίκεσσι συμπόταις
Νέκταρ ἀμβροσίαν τε
Δῶκεν, οἷσιν ἄφθιτον
Θέσαν. εἰ δὲ Θεὸν
Ἀνήρ τις ἔλπεταί τι λαθέ-
μεν ἔρδων, ἁμαρτάνει.
Τῦνεκα προῆκαν υἱὸν
Ἀθάνατοι οἱ πάλιν
Μετὰ τὸ ταχύποτμον
Αὖθις ἀνέρων ἔθνος.
Πρὸς εὐάνθεμον δ', ὅτε φυὰν
Λάχναι νιν μέλαν γένειον ἔρε
φον,
Ἑτοῖμον ἀνεφρόντισεν γάμον.
Ἀντιστρ. κώ. ιζ'.
Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ἱπποδάμειαν
Σχεθέμεν. ἄγχι δ' ἐλθὼν
Πολιᾶς ἁλὸς οἷος ἐν ὄρφνᾳ,
Ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν. ὁ δ' αὐτῷ
Παρ ποσὶ σχεδὸν φάνη.
Τῷ μὲν εἶπε, φίλι-
α δῶρα Κυπρίας ἄγ' εἴτι
Ποσείδαον ἐς χάριν
Τέλλεται, πέδασον ἔγχος
Οἰνομάυ χάλκεον,
Ἐμὲ δ' ἐπὶ ταχυτά-
των πόρευσον ἁρμάτων
Ἐς Ἆλιν, κράτει δὲ πέλασον.
Ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας
ὀλέσαις
Ἐρῶντας, ἀναβάλλεται γάμον
Ἐπῳ. κώ. ιζ'.
Θυγατρός. ὁ μέγας δὲ κίνδυ-
νος ἄναλκιν ὐ φῶ-
τα λαμβάνει. θανεῖν δ' οἷσιν
ἀνάγκα,
Τί κέ τις ἀνώνυμον γῆρας ἐν
σκότῳ
Καθήμενος ἕψοι μάταν, ἁπάν-
των
Καλῶν ἄμμοιρος; ἀλλ' ἐμοὶ
μὲν ὗτος
Ἄεθλος γ' ὑποκείσεται, τὺ δὲ
Πρᾶξιν φίλαν δίδοι.
Ὣς ἔνεπεν· ὐδ' ἀ-
κράντοις ἐφάψατ' ὦν ἔπε-
σι. τὸν μὲν ἀγάλλων Θεὸς,
Ἔδωκεν δίφρον χρύσεον, ἐν
πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππυς.
Στρ. δ'. κώ. ιζ'.
Ἕλκεν δ' Οἰνομάυ βίαν,
Παρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παρθένον τε σύνευνον.
Ἃ τέκε λαγέτας ἕξ,
Ἀρεταῖσι μεμαλότας υἱές.
Νῦν δ' ἐν αἱμακυρίαις
Ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
Τύμβον ἀμφίπολον
Ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ. τὸ δὲ κλέος
Τηλόθεν δέδορκε τᾶν ὀλυμπιάδων, ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται,
Ἀκμαί τ' ἰσχύος θρασύπονοι.
Ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
Ἔχει μελιτόεσσαν εὐδίαν

Ἀντιστρ. κώ. ιζ'.

Ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσθλὸν,
Ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
Κεῖνον ἱππικῷ νόμῳ
Αἰοληΐδι μολπᾷ
Χρή. πέποιθα δὲ ξένον
Μή τιν' ἀμφότερα
Καλῶν τε ἴδριν ἄλλον καὶ δύναμιν κυριώτερον,
Τῶν γε νῦν, κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
Θεὸς ἐπίτροπος ἐὼν, τεαῖσι μήδεται
Ἔχων τοῦτο κῆδος Ἱέρων
Μερίμναισιν, εἰ δὲ μὴ ταχὺ λίποι,
Ἔτι γλυκυτέραν κεν ἔλπομαι

Ἐπῳ. κώ. ιγ'.

Σὺν ἅρματι θοῷ κλεΐξειν,
Ἐπίκουρον εὑρὼν
Ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει. ἐπ' ἄλλοισι δ' ἄλλοι
μεγάλοι· τὸ δ' ἔσχατον κορυ-
φοῦται βασιλεῦσι. μηκέτι
Πάπταινε πόρσιον.
Εἴη σέ τε τοῦτον
Ὕψου χρόνον πατεῖν, ἐμέ-
τε τοσσάδε νικαφόροις
Ὁμιλεῖν, πρόφαντον σοφίαν καθ' Ἕλ-
λανας ἐόντα παντᾷ.

# ΤΕΛΟΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αιον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κ[illegible]ική Β[illegible]